A · GREEK · READER

W. H. D. ROUSE

2/6

G W Johnston

A GREEK READER

A
GREEK READER



BY

W. H. D. ROUSE, LITT.D.

HEAD-MASTER OF THE PERSE GRAMMAR SCHOOL, CAMBRIDGE
UNIVERSITY TEACHER OF SANSKRIT



LONDON
BLACKIE & SON, LIMITED, 50 OLD BAILEY, E.C.
GLASGOW, DUBLIN AND BOMBAY
1907



PREFACE

This Reader was meant to be used with my First Greek Course, as supplementing the pieces of Greek there given; it may, however, follow any beginner's book of Greek, as soon as the elementary grammar has been learnt.

All the pieces in this book (except some of the comic fragments) are complete in themselves, and present a unity of action or thought, if they are sometimes abstracted from a larger whole. They are of three kinds. First, there are pieces of simple verse: such as the Anacreontea, the fragments of comedy, the epigrams from the Anthology, the Swallow Song. Secondly, simple narratives and dialogues in prose: for this section I found the statements of case in the orators, and the openings of Plato's dialogues, most useful. The orators in particular supply a series of very dramatic scenes, which have the advantage of being closely in touch with life, and are therefore well suited for beginners. One short specimen is given from Lucian, but no more, since his Dialogues, with omissions, form an admirable Reader by themselves. For the same reason, Herodotus has been left untouched; in some shape his work ought to be read within the first two years of Greek. Lastly, a number of pieces have been chosen for their bearing on the daily life of the Greeks: two private letters, some descriptions of street scenes and the like, proverbs and riddles, and the extracts from Hippocrates and Oribasius. My attention was first called to Oribasius by Prof. U. von Wilamowitz-Möllendorff; and I think the

extracts given are of great interest: we see the daily life of the Greek gentleman, and the training of his sons, very clear before us. If the style of these pieces is not so elegant as Plato, it is admirably lucid, and I cannot help thinking that boys who could write as good Greek would be not unwelcome in an English school on their merits. Hippocrates is more than a physician; he is a philosopher and a man of letters, besides being a singularly noble and dignified figure. Those who may disapprove of such authors in a schoolbook, may leave them alone; for my part, I find the extracts not only worth reading, but very useful as material for original composition, in a style which is perhaps meant to be better.

I hope no one will object to the presence of Euclid i. 1 because it does not fit into any of the above classes.

Very little change has been made in the text beyond shortening. Attic forms have replaced Ionic or Doric: and the grammatical blunders of the Egyptian schoolboy have been tacitly corrected. Although his schoolmaster is unknown, I think it would be unkind to expose the shortcomings of a colleague. For the father I have no sympathy; and I feel sure that the mother was not blameless.

I have plenty of material for another Reader, of quite a different kind, if this should prove to be interesting. But really, if any one wants a piece of advice gratis, I offer him this: Buy a dozen copies of all the Greek texts you can lay hands on, and keep them in your class-room; from these make your own Reader, by handing them round and reading out the piece of your choice on the spot; no Reader of mine will be wanted then. And when I say reading, I mean reading; not translating. But this brings in King Charles's head, and I will only add, that if you wish your pupils of all ages to understand Greek, and to enjoy it, this is the way.

W. H. D. ROUSE.

CONTENTS

PART I

PART II

PART III

PART IV

PART I

I

Cupid and the Bee

Ἔρως ποτ' ἐν ῥόδοισιν
κοιμωμένην μέλιτταν
οὐκ εἶδεν, ἀλλ' ἐτρώθη
τὸν δάκτυλον· παταχθεὶς
τὰς χεῖρας ὠλόλυξεν·
δραμὼν δὲ καὶ πετασθεὶς
πρὸς τὴν καλὴν Κυθήραν—
"ὄλωλα, μῆτερ," εἶπεν
"ὄλωλα κἀποθνῄσκω·
ὄφις μ' ἔτυψε μικρὸς
πτερωτός, ὃν καλοῦσιν
μέλιτταν οἱ γεωργοί."
ἡ δ' εἶπεν· "εἰ τὸ κέντρον
πονεῖ τὸ τῆς μελίττης,
πόσον, δοκεῖς, πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;"

Anacreon.

2

A Friendly Visit

Gorgo—Praxinoe.

ΓΟ. Ἔνδον Πραξινόη;

ΠΡ. Γοργοῖ φίλη, ὡς χρόνῳ· ἔνδον.
θαῦμ' ὅτι καὶ νῦν ἦλθες.—ὅρα δίφρον, Εὐνόη, αὐτῇ.
ἔμβαλε καὶ πρόσκρανον.[1]

ΓΟ. Ἔχει κάλλιστα.

ΠΡ. Καθίζου.

(*To the maid*)

κινοῦ δή, φέρε θᾶττον ὕδωρ.—ὕδατος πρότερον δεῖ,
ἁ δὲ σμῆμα φέρει.—δὸς ὅμως. μὴ δὴ πολύ, ἄπληστε.
ἔγχει ὕδωρ. δύστηνε, τί μοι τὸ χιτώνιον ἄρδεις;
παῦε. ὁποῖα θεοῖς ἐδόκει, τοιαῦτα νένιμμαι.

[1] =pillow, cushion.

3

How to spell a Name

ἐγὼ πέφυκα γραμμάτων μὲν οὐκ ἴδρις,
μορφὰς δὲ λέξω καὶ σαφῆ τεκμήρια.
κύκλος τις ὡς τόρνοισιν ἐκμετρούμενος,
οὗτος δ' ἔχει σημεῖον ἐν μέσῳ σαφές.
τὸ δεύτερον δέ, πρῶτα μὲν γραμμαὶ δύο,
ταύτας διείργει δ' ἐν μέσαις ἄλλη μία·
τρίτον δὲ βόστρυχός τις ὣς εἱλιγμένος·
τὸ δ' αὖ τέταρτον, ἣν μὲν εἰς ὀρθὸν μία,

λοξαὶ δ' ἀπ' αὐτῆς τρεῖς κατεστηριγμέναι
εἰσίν· τὸ πέμπτον δ' οὐκ ἐν εὐμαρεῖ φράσαι·
γραμμαὶ γάρ εἰσιν αἱ διεστάτην δύο
αὗται δὲ συντρέχουσιν ἐς μίαν βάσιν·
τὸ λοίσθιον δὲ τῷ τρίτῳ προσεμφερές.

Euripides, *frag.* 382.

4

Banqueting Song

ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων
ὅτε τὸν τύραννον κτανέτην[1]
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

φίλταθ' Ἁρμόδι', οὔ τι που τέθνηκας,
νήσοις δ' ἐν μακάρων σέ φασιν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλεύς,
Τυδεΐδην δὲ φασὶν Διομήδεα.[2]

ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων,
ὅτ' Ἀθηναίας ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

αἰεὶ σφῷν κλέος ἔσσεται[3] *κατ' αἶαν,*
φίλταθ' Ἁρμόδιος καὶ Ἀριστογείτων
ὅτι τὸν τύραννον κτανέτην,
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

Scolion.

[1] For ἐκτανέτην. [2] For Διομήδη. [3] For ἔσται.

5

Merry Eld

λέγουσιν αἱ γυναῖκες·
Ἀνακρέων, γέρων εἶ,
λαβὼν ἔσοπτρον ἄθρει
κόμας μὲν οὐκέτ' οὔσας,
ψιλὸν δέ σοι πρόσωπον.
ἐγὼ δὲ τὰς κόμας μέν,
εἴτ' εἰσίν, εἴτ' ἀπῆλθον,
οὐκ οἶδα· τοῦτο δ' οἶδα,
ὡς τῷ γέροντι μᾶλλον
πρέπει τὰ τερπνὰ παίζειν
ὅσῳ πέλας τὰ Μοίρας.

Anacreontea 6.

6

Europa

ὁ ταῦρος οὗτος, ὦ παῖ,
Ζεύς μοι δοκεῖ τις εἶναι·
φέρει γὰρ ἀμφὶ νώτοις
Σιδωνίαν γυναῖκα·
περᾷ δὲ πόντον εὐρύν,
τέμνει δὲ κῦμα χηλαῖς·
οὐκ ἂν δὲ ταῦρος ἄλλος
ἐξ ἀγέλης ἐλασθεὶς
ἔπλευσε τὴν θάλατταν,
εἰ μὴ μόνος γ' ἐκεῖνος.

Ibid. 52.

7

A Nest of Chicks

σὺ μὲν φίλη χελιδών,
ἐτησία μολοῦσα,
θέρει πλέκεις καλιάν·
χειμῶνι δ' εἶς[1] ἄφαντος
ἢ Νεῖλον ἢ 'πὶ Μέμφιν.
Ἔρως δ' ἀεὶ πλέκει μου
ἐν καρδίᾳ καλιάν,
Πόθος δ' ὁ μὲν πτεροῦται,
ὁ δ' ᾠόν ἐστιν ἀκμήν,[2]
ὁ δ' ἡμίλεπτος ἤδη.
βοὴ δὲ γίγνετ' αἰεὶ
κεχηνότων νεοττῶν.
Ἐρωτιδεῖς δὲ μικροὺς
οἱ μείζονες τρέφουσιν.
οἱ δὲ τραφέντες ἐντὸς
πάλιν κύουσιν ἄλλους.
τί μῆχος οὖν γένηται;
οὐ γὰρ σθένω τοσούτους
Ἔρωτας ἐκσοβῆσαι.

Anacreontea 25.

8

The Cicala

μακαρίζομέν σε, τέττιξ,
ὅτε δενδρέων ἐπ' ἄκρων
ὀλίγην δρόσον πεπωκὼς
βασιλεὺς ὅπως ἀείδεις·

[1] = εἶ. [2] = just.

σὰ γάρ ἐστι κεῖνα πάντα
ὁπόσα βλέπεις ἐν ἀγροῖς,
ὁπόσα τρέφουσιν ὗλαι.
σὺ δὲ τίμιος βροτοῖσιν[1]
θέρεος[2] γλυκὺς προφήτης·
φιλέουσι[3] μέν σε Μοῦσαι,
φιλέει[3] δὲ Φοῖβος αὐτός,
λιγυρὰν δ' ἔδωκεν οἴμην.
τὸ δὲ γῆρας οὔ σε τείρει,
σοφέ, γηγενής, φίλυμνε·
ἀπαθὴς δ', ἀναιμόσαρκε,
σχεδὸν εἶ θεοῖς ὁμοῖος.

Anacreontea 32.

9

An Ungrateful Guest

μεσονυκτίοις ποθ' ὥραις,
στρέφεθ' ἡνίκ' Ἄρκτος ἤδη
κατὰ χεῖρα τὴν Βοώτου,
μερόπων[4] δὲ φῦλα πάντα
κέαται[5] κόπῳ δαμέντα,
τότ' Ἔρως ἐπισταθείς μου
θυρέων ἔκοπτ' ὀχῆας.[6]
Τίς, ἔφην, θύρας ἀράττει;
κατά μου σχίζεις ὀνείρους.
ὁ δ' Ἔρως, Ἄνοιγε, φησίν·
βρέφος εἰμί, μὴ φόβησαι·
βρέχομαι δὲ κἀσέληνον
κατὰ νύκτα πεπλάνημαι.
ἐλέησα ταῦτ' ἀκούσας,

[1] = βροτοῖς. [2] = θέρους. [3] = φιλοῦσι, φιλεῖ.
[4] = ἀνθρώπων. [5] = κεῖται. [6] = θυρῶν ὀχέας.

ἀνὰ δ' εὐθὺ λύχνον ἅψας
ἀνέῳξα, καὶ βρέφος μὲν
ἐσορῶ φέροντα τόξον
πτέρυγάς τε καὶ φαρέτραν.
παρὰ δ' ἑστιὰν καθῖσα,
παλάμαις τε χεῖρας αὐτοῦ
ἀνέθαλπον, ἐκ δὲ χαίτης
ἀπέθλιβον ὑγρὸν ὕδωρ.
ὁ δ' ἐπεὶ κρύος μεθῆκεν,
Φέρε, φησί, πειράσωμεν
τόδε τόξον, εἴ τι μοι νῦν
βλάβεται βραχεῖσα[1] νευρά.
τανύει δὲ καί με τύπτει
μέσον ἧπαρ, ὥσπερ οἶστρος·
ἀνὰ δ' ἅλλεται καχάζων,
Ξένε δ', εἶπε, συγχάρηθι·
κέρας ἀβλαβὲς μὲν ἡμῖν,
σὺ δὲ καρδίαν πονήσεις.

Anacreontea 31.

10

WHOM TO WELCOME

ἔστιν δ' ἁπάντων τῶν γενῶν μοι διαγραφή,
ἐς ποῖα μισθοῦν ἢ φυλάττεσθαί με δεῖ.
οἷον τὸ κατὰ τοὐμπόριον, εἰ βούλει, γένος.
ναύκληρος ἀποθύει τις εὐχήν, ἀποβαλὼν
τὸν ἱστὸν ἢ πηδάλια συντρίψας νεώς,
ἢ φορτί' ἐξέρριψ' ὑπέραντλος γενόμενος·
ἀφῆκα τὸν τοιοῦτον· οὐδὲν ἡδέως
ποιεῖ γὰρ οὗτος, ἀλλ' ὅσον νόμου χάριν.
ὁμοῦ δὲ ταῖς σπονδαῖσι διαλογίζεται

[1] *from* βρέχω.

τοῖς συμπλέουσιν ὁπόσον ἐπιβάλλει μέρος
τιθείς, τά θ' αὑτοῦ σπλάγχν' ἕκαστος ἐσθίει.
ἀλλ' ἕτερος εἰσπέπλευκεν ἐκ Βυζαντίου
τριταῖος, ἀπαθής, εὐπορηκώς, περιχαρὴς
ἐς δέκ' ἐπὶ τῇ μνᾷ γεγονέναι καὶ δώδεκα,
λαλῶν τὰ ναῦλα καὶ δάνει' ἐρυγγάνων·
ὑπὸ τοῦτον ὑπέκυψ' εὐθὺς ἐκβεβηκότα,
τὴν δεξιὰν ἐνέβαλον, ἐμνήσθην Διὸς
σωτῆρος, ἐμπεπήγα τῷ διακονεῖν.

Diphilus 43.

11

Venter Improbus

εὖ γ' ὁ κατάχρυσος εἶπε πόλλ' Εὐριπίδης·
"νικᾷ δὲ χρεία μ' ἡ ταλαίπωρός τε μου
γαστήρ." ταλαιπωρότερον οὐδέν ἐστι γὰρ
τῆς γαστρὸς ἀνθρώποισιν. ἐν πήρᾳ φέροις
ἄρτους ἄν, ἀλλ' οὐ ζωμόν, ἢ διαφθερεῖς.
ἐς σπυρίδα μάζας ἐμβαλεῖς, ἀλλ' οὐ φακῆν,
οἰνάριον ἐς λάγυνον, ἀλλ' οὐ κάραβον.
ἐς τὴν θεοῖς ἐχθρὰν δὲ ταύτην εἰσφόρει
τὰ πάνθ' ἑαυτοῖς μηδὲν ὁμολογούμενα.
κοὐ προστίθημι τἄλλα, διότι πανταχοῦ
διὰ τὴν τάλαιναν πάντα ταύτην γίγνεται.

Id. 60.

12

Wonderland

A. Ἔπειτα δοῦλον οὐδὲ εἷς κεκτήσετ' οὐδὲ δούλην,
ἀλλ' αὐτὸς αὑτῷ δῆτ' ἀνὴρ γέρων διακονήσει;
B. Οὐ δῆθ'· ὁδοιποροῦντα γὰρ τὰ πάντ' ἐγὼ ποιήσω.

A. *Τί δῆτα τοῦτ' αὐτοῖς πλέον;* B. *Πρόσεισιν αὔθ' ἕκαστον*
τῶν σκευαρίων, ὅταν καλῇ τι. "παρατίθου, τράπεζα.—
ἄμης, παρασκεύαζε σαυτόν.—μάττε, θυλάκισκε.—
ἔγχει, κύαθε.—ποῦσθ'[1] *ἡ κύλιξ; διάνιζ' ἰοῦσα σαυτήν.—*
ἀνάβαινε, μᾶζα.—τὴν χύτραν χρῆν ἐξερᾶν τὰ τεῦτλα.—
ἰχθύ, βάδιζ'.—ἀλλ' οὐδέπω 'πὶ θάτερ' ὀπτός εἰμι.—
οὔκουν μεταστρέψας σεαυτὸν ἁλὶ πάσεις ἀλείφων;"

Crates 14.

13

The Happy Land

A. *Πλούτῳ δ' ἐκεῖν' ἦν πάντα συμπεφυρμένα·*
ποταμοὶ μὲν ἀθάρης καὶ μέλανος ζωμοῦ πλέῳ
διὰ τῶν στενωπῶν πομφολυγοῦντες ἔρρεον
αὐταῖσι μυστιλαῖσι, καὶ ναστῶν τρύφη,
ὥστ' εὐμαρῆ γε καὐτομάτην τὴν ἔνθεσιν
χωρεῖν λιπαρὰν κατὰ τοῦ λάρυγγος τοῖς νεκροῖς.
φύσκαι δὲ καὶ σίζοντες ἀλλάντων τόμοι
παρὰ τοῖς ποταμοῖσιν ἐξέκειντ' ἀντ' ὀστράκων.
καὶ μὴν παρῆν τεμάχη μὲν ἐξωπτημένα
καταχυσματίοισι παντοδαποῖσιν εὐπρεπῆ,
τεύτλοισι τ' ἐγχέλεια συγκεκαλυμμένα.
σχελίδες δ' ὁλόκνημοι πλησίον τακερώταται
ἐπὶ πινακίσκοις, καὶ δίεφθ' ἀκροκώλια
ἥδιστον ἀπατμίζοντα, καὶ χόλικες βοός,
καὶ πλεῦρα δελφάκει' ἐπεξανθισμένα
χναυρότατα παρέκειτ' ἐπ' ἀμύλοις καθήμενα.
B. *Οἴμ' ὡς ἀπολεῖς μ' ἐνταῦθα διατρίβων ἔτι*

[1] *ποῦ ἐστιν.*

παρὸν κολυμβᾶν ὡς ἔχω 'ς τὸν τάρταρον.
A. Τί δῆτα λέξεις, τἀπίλοιπ' ἥνπερ πύθῃ;
ὀπταὶ κίχλαι γὰρ εἰς ἀνάβραστ' ἠρτυμέναι
περὶ τὸ στόμ' ἐπέτοντ' ἀντιβολοῦσαι καταπιεῖν·
τὰ δὲ μῆλ' ἐκρέμαθ' ἕτοιμα καὶ κάλλιστ' ἰδεῖν
ὑπὲρ κεφαλῆς, ἐξ οὐδενὸς πεφυκότα.
κόραι κύλικας οἴνου μέλανος ἀνθοσμίου
ἤντλουν διὰ χώνης τοῖσι βουλομένοις πιεῖν.
καὶ τῶνδ' ἑκάστοτ' εἰ φάγοι τις ἢ πίοι,
διπλάσι' ἐγίγνετ' εὐθὺς ἐξ ἀρχῆς πάλιν.

Pherecrates 108.

14

The Contented Man

οὔ μοι μέλει τὰ Γύγου
τοῦ Σάρδεων ἄνακτος·
οὐδ' εἷλέ πω με ζῆλος,
οὐδὲ φθονῶ τυράννοις.
ἐμοὶ μέλει μύροισιν
καταβρέχειν ὑπήνην·
ἐμοὶ μέλει ῥόδοισιν
καταστέφειν κάρηνα.
τὸ σήμερον μέλει μοι,
τὸ δ' αὔριον τίς οἶδεν;

Anacreontea 7.

15

A Thirsty World

γῆ μὲν μέλαινα πίνει,
πίνει δὲ δένδρε' αὖ γῆν,
πίνει θάλαττ' ἀναύρους,

ὁ δ' ἥλιος θάλατταν,
τὸν δ' ἥλιον σελήνη.
τί μοι μάχεσθ', ἑταῖροι,
καὐτῷ θέλοντι πίνειν;

Anacreontea 20.

16

SIBI CUIQUE

φύσις κέρατα ταύροις,
ὁπλὰς δ' ἔδωκεν ἵπποις,
λέουσι χάσμ' ὀδόντων,
τοῖς ἰχθύσιν τὸ νηκτόν,
τοῖς ὀρνέοις πέτασθαι,
τοῖς ἀνδράσιν φρόνημα.

Ibid. 24.

17

A DEAF SERVANT

τὴν δύσκωφον γραῖαν, Ὀνήσιμε, πρὸς Διός, ἔξω
ἔκβαλε· πολλὰ λίαν πράγματά μοι παρέχει.
ἢν αὐτῇ τυροὺς ἁπαλοὺς εἴπωμεν ἐνέγκαι,
οὐ τυρούς, πυροὺς δ' ἔρχετ' ἔχουσα νέους.
πρῴην τὴν κεφαλὴν ἐπόνουν, καὶ πήγανον αὐτὴν
ᾔτουν· ἡ δ' ἔφερεν τήγανον ὀστράκινον.
ὄξος ἐὰν αἰτῶ, τόξον φέρει· ἂν δέ γε τόξον,
ὄξος· ὅλως δ' ὃ λέγω, οὔποτ' ἐπαισθάνεται.
αἰσχρὸν τῆς γραός με χάριν κήρυκα γενέσθαι,
καὶ μελετᾶν ἔξω, νυκτὸς ἐγειρόμενον.

Anthology xi. 74.

18

A Champion Runner

πέντε μετ' ἄλλων Χάρμος ἐν Ἀρκαδίᾳ δολιχεύων,
θαῦμα μέν, ἀλλ' ὄντως ἕβδομος ἐξέπεσεν.
ἓξ ὄντων, τάχ' ἐρεῖς, πῶς ἕβδομος; εἷς φίλος αὐτοῦ,
"θάρσει, Χάρμε" λέγων, ἦλθεν ἐν ἱματίῳ.
ἕβδομος οὖν οὕτω παραγίγνεται. εἰ δ' ἔτι πέντε
εἶχε φίλους, ἦλθ' ἄν, Ζωΐλε, δωδέκατος.

Anthology xi. 82.

19

A Light Weight

βουλόμενός ποθ' ὁ λεπτὸς ἀπάγξασθαι Διόφαντος,
νῆμα λαβὼν ἀράχνης αὑτὸν ἀπηγχόνισεν.

Ibid. xi. 111.

20

The Oculist

ἰατρὸς Καπίτων Χρύσην ἔχρισεν, ὁρῶντα
ὀκτὼ μὲν μακρὸν πύργον ἀπὸ σταδίων,
ἄνδρα δ' ἀπὸ σταδίου, διὰ δώδεκα δ' ὄρτυγα πηχῶν,
φθεῖρα δ' ἀπὸ σπιθαμῶν καὶ δύο δερκόμενον.
νῦν δ' ἀπὸ μὲν σταδίου πόλιν οὐ βλέπει, ἐκ δὲ διπλέθρου
καιόμενον κατιδεῖν τὸν φάρον οὐ δύναται.
ἵππον ἀπὸ σπιθαμῆς δὲ μόλις βλέπει, ἀντὶ δὲ τοῦ πρὶν
ὄρτυγος οὐδὲ μέγαν στρουθὸν ἰδεῖν δύναται.

Ibid. xi. 117.

21

Potent Physic

πέντ᾽ ἰατρὸς Ἄλεξις ἅμ᾽ ἔκλυσε, πέντ᾽ ἐκάθηρε,
πέντ᾽ ἴδεν[1] *ἀρρώστους, πέντ᾽ ἐνέχρισε πάλιν.*
καὶ πᾶσιν μία νύξ, ἓν φάρμακον, εἷς σοροπηγός,
εἷς τάφος, εἷς Ἅιδης, εἷς κοπετὸς γέγονεν.

Anthology xi. 122.

22

More Potent Skill

Ἆγις Ἀρισταγόραν οὔτ᾽ ἔκλυσεν, οὔτ᾽ ἔθιγ᾽ αὐτοῦ·
ἀλλ᾽ ὅσον εἰσῆλθεν—κᾤχετ᾽[2] Ἀρισταγόρας.

Ibid. xi. 123.

23

Most Potent of All

οὔτ᾽ ἔκλυσεν Φείδων μ᾽, οὔθ᾽ ἥψατο· ἀλλὰ πυρέξας
ἐμνήσθην αὐτοῦ τοὔνομα, κἀπέθανον.

Ibid. xi. 118.

24

A Climax

τοῦ λιθίνου Διὸς ἐχθὲς ὁ κλινικὸς ἥψατο Μάρκος·
καὶ λίθος ὤν, καὶ Ζεύς, τήμερον ἐκφέρεται.

Ibid. xi. 113.

[1] =εἶδεν. [2] =καὶ ᾤχετο.

25

A Thoughtful Act

χειρουργῶν ἔσφαξεν Ἀκεστορίδην Ἀγέλαος·
ζῶν γὰρ χωλεύειν, φησίν, ἔμελλε τάλας.

Anthology xi. 121.

26

A Miser

δακρύει Φείδων ὁ φιλάργυρος, οὐχ ὅτι θνῄσκει,
ἀλλ᾽ ὅτι πέντε μνῶν τὴν σόρον ἐπρίατο.
τοῦτ᾽ αὐτῷ χαρίσασθε, καὶ ὡς τόπος ἐστὶν ἐν αὐτῇ,
τῶν πολλῶν τέκνων ἕν τι προσεμβάλετε.

Ibid. xi. 170.

27

Another Miser

θνῄσκων Ἑρμοκράτης ὁ φιλάργυρος, ἐν διαθήκαις
αὑτὸν τῶν ἰδίων ἔγραφε κληρονόμον.

Ibid. xi. 171.

28

A Singer

νυκτικόραξ ᾄδει θανατηφόρον· ἀλλ᾽ ὅταν ᾄσῃ
Δημόφιλος, θνῄσκει καὐτὸς ὁ νυκτικόραξ.

Ibid. xi. 186.

29

Under the Tiles

ἐκλήθην ἐχθές, Δημήτριε· τήμερον ἦλθον
δειπνεῖν. μὴ μέμψῃ, κλίμακ᾽ ἔχεις μεγάλην.

Anthology xi. 330.

30

A New Peer

βουλεύεις, Ἀγαθῖνε· τὸ βῆτα δὲ τοῦτ᾽ ἐπρίω νῦν,
εἰπέ, πόσης τιμῆς; δέλτα γὰρ ἦν πρότερον.

Ibid. xi. 337.

31

A Miser

μῦν Ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ,
καὶ "τί ποιεῖς" φησὶν "φίλτατε μῦ, παρ᾽ ἐμοί;"
ἡδὺ δ᾽ ὁ μῦς γελάσας, "μηδὲν, φίλε" φησὶ "φοβηθῇς·
οὐχὶ τροφῆς παρὰ σοὶ χρῄζομεν, ἀλλὰ μονῆς."

Ibid. xi. 391.

32

A Powerful Hairwash

τὴν κεφαλὴν βάπτων τις ἀπώλεσε τὰς τρίχας αὐτάς,
καὶ δασὺς ὢν λίαν, ᾠὸν ἅπας γέγονεν.

Ibid. xi. 398.

33

A Long Nose

τοῦ γρυποῦ Νίκωνος ὁρῶ τὴν ῥῖνα, Μένιππε·
αὐτὸς δ' οὐ μακρὰν φαίνεται εἶναι ἔτι.
ἥξει δή, μείνωμεν ὅμως· εἰ γὰρ πολύ, πέντε
τῆς ῥινὸς σταδίους, οἴομαι, οὐκ ἀπέχει.
ἀλλ' αὐτὴ μέν, ὁρᾷς, προπορεύεται. ἢν δ' ἐπὶ βουνὸν
ὑψηλὸν στῶμεν, καὐτὸν ἐσοψόμεθα.

Anthology xi. 406.

34

A Flatterer Rebuked

ἂν μὲν ἀπόντα λέγῃς με κακῶς, οὐδέν μ' ἀδικεῖς σύ·
ἂν δὲ παρόντα καλῶς, ἴσθι κακῶς με λέγων.

Ibid. xi. 421.

35

Hermes and Charon

ΕΡ. Λογισώμεθα, ὦ Χάρων, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμεν περὶ αὐτῶν.
ΧΑ. Λογισώμεθα, ὦ Ἑρμῆ.
ΕΡ. Ἄγκυραν κελεύοντι ἐκόμισα πέντε δραχμῶν.
ΧΑ. Πολλοῦ λέγεις.
ΕΡ. Νὴ τὸν Πλούτωνα, τῶν πέντε ἐωνησάμην, καὶ τροπωτῆρα δύο ὀβολῶν.
ΧΑ. Τίθει πέντε δραχμὰς καὶ ὀβολοὺς δύο.

ΕΡ. Καὶ ἀκέστραν ὑπὲρ τοῦ ἱστίου· πέντε ὀβολοὺς ἐγὼ κατέβαλον.

ΧΑ. Καὶ τούτους προστίθει.

ΕΡ. Καὶ κηρὸν ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου τὰ ἀνεῳγότα, καὶ ἥλους, καὶ κάλων, δύο δραχμῶν ἅπαντα.

ΧΑ. Καὶ ἄξια ταῦτα ἐωνήσω.

ΕΡ. Ταῦτά ἐστιν, εἰ μή τι διέλαθεν ἡμᾶς ἐν τῷ λογισμῷ. πότε δ' οὖν ταῦτα ἀποδώσειν φῄς;

ΧΑ. Νῦν μέν, ὦ Ἑρμῆ, ἀδύνατον· ἐὰν δὲ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινάς, ἐνέσται τότε ἐπειδὰν λάβω τὰ πορθμεῖα.

Lucian, *Dialogues of the Dead.*

36

The Swallow Song of Rhodes

ἦλθ' ἦλθε χελιδών,
καλὰς ὥρας ἄγουσα
καλοὺς ἐνιαυτούς,
ἐπὶ γαστέρα λευκή,
ἐπὶ νῶτα μέλαινα.
παλάθην σὺ προκύκλει
ἐκ πίονος οἴκου,
οἴνου τε δέπαστρον,
τυροῦ τε κάνιστρον.
καὶ πύρνα χελιδὼν
καὶ λεκιθίτην
οὐκ ἀπωθεῖται. πότερ' ἀπίωμεν ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις—εἰ δὲ μή, οὐκ ἐάσομεν·
ἢ τὴν θύραν φέρωμεν ἢ θοὐπέρθυρον[1]
ἢ τὴν γυναῖκα τὴν ἔσω καθημένην·

[1] τὸ ὑπέρθυρον.

μικρὰ μέν ἐστι, ῥᾳδίως νιν[1] οἴσομεν.
ἂν δὲ φέρῃς τι,
μέγα δή τι φέροιο.
ἄνοιγ' ἄνοιγε τὴν θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

Athenaeus viii. 360 B.

37

Epitaphs

1. The Spartans at Thermopylae

ὦ ξεῖν',[2] ἄγγειλον Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

Simonides, *Anthology* vii. 249.

2. The Athenian Dead at Plataea

εἰ τὸ καλῶς θνῄσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε Τύχη·
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίαν περιθεῖναι
κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίᾳ.

Simonides, *Ibid.* 253.

3. The Spartan Dead at Plataea

ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες
κυάνεον θανάτου ἀμφεβάλοντο νέφος·
οὐ δὲ τεθνᾶσι θανόντες, ἐπεί σφ'[3] ἀρετὴ καθύπερθεν
κυδαίνουσ' ἀνάγει δώματος ἐξ Ἀΐδου.

Simonides, *Ibid.* 251.

[1] αὐτήν. [2] ξένε. [3] σφε = αὐτούς.

4. A Dead Warrior

καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σῆμα·
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

Anacreon, *Anthology* vii. 160.

38

A Quiet Life

ὦ πάντες ἄνθρωποι, τί τὸ ζῆν ἡδέως
παρέντες ἐπιμελεῖσθε τοῦ κακῶς ποιεῖν
πολεμοῦντες ἀλλήλους; πότερα πρὸς τῶν θεῶν
ἐπιστατεῖ τις τοῦ βίου νυνὶ τύχη
ἄγροικος ἡμῶν, οὐδὲ παιδείαν ὅλως
εἰδυῖα, τί τὸ κακόν ποτ' ἢ τί τἀγαθὸν
ἔστ' ἀγνοοῦσα παντελῶς, εἰκῇ τέ πως
ἡμᾶς κυλίνδουσ' ὅντιν' ἂν τύχῃ τρόπον;
οἶμαί γε· πῶς γὰρ μᾶλλον ἂν προείλετο
Ἕλλην ἀληθῶς οὖσα λεπομένους ὁρᾶν
αὐτοὺς ὑφ' αὑτῶν καὶ καταπίπτοντας νεκρούς,
ἐξὸν ἱλαροὺς παίζοντας ὑποπεπωκότας
αὐλουμένους ἰδεῖν; λέγ' αὐτή, γλυκυτάτη,
ἔλεγχ' ἄγροικον οὖσαν ἡμῶν τὴν τύχην.
οὐ τοῦτο τὸ ζῆν ἐστι τὸν καλούμενον
θεῶν ἀληθῶς βίον. ὅσῳ δ' ἡδίονα
τὰ πράγματ' ἐν ταῖς πόλεσιν ἦν ἂν ἢ τὰ νῦν,
εἰ μεταβαλόντες τὸν βίον διήγομεν·
πίνειν Ἀθηναίους ἅπαντας τοὺς μέχρι
ἐτῶν τριάκοντ', ἐξιέναι τοὺς ἱππέας
ἐπὶ κῶμον εἰς Κόρινθον ἡμέρας δέκα,
στεφάνους ἔχοντας καὶ μύρον πρὸ ἡμέρας,
τοὺς τὴν ῥάφανον πωλοῦντες ἕψειν Μεγαρέων,

εἰς τὸ βαλανεῖον ἀπιέναι τοὺς συμμάχους,
κεραννύναι τὸν οἶνον Εὐβοέας. τρυφὴ
καὶ βίος ἀληθῶς. ἀλλ' ἀπαιδεύτῳ τύχῃ
δουλεύομεν.

Apollodorus 5.

39

BLUE BLOOD

ἀπολεῖ με τὸ γένος. μὴ λέγ', εἰ φιλεῖς ἐμέ,
μῆτερ, ἐφ' ἑκάστῳ τὸ γένος. οἷς ἂν τῇ φύσει
ἀγαθὸν ὑπάρχῃ μηδὲν οἰκεῖον προσόν,
ἐκεῖσε καταφεύγουσιν, εἰς τὰ μνήματα
καὶ τὸ γένος, ἀριθμοῦσίν τε τοὺς πάππους ὅσοι·
οὐδὲν δ' ἔχουσι πλεῖον, οὐδ' ἐρεῖς ὅτῳ
οὐκ εἰσὶ πάπποι· πῶς γὰρ ἐγένοντ' ἄν ποτε;
οἳ μὴ λέγειν δ' ἔχουσι τούτους διά τινα
τόπου μεταβολὴν ἢ φίλων ἐρημίαν,
τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι;
ὃς ἂν εὖ γεγονὼς ᾖ τῇ φύσει πρὸς τἀγαθά,
κἂν Αἰθίοψ ᾖ, μῆτερ, ἐστὶν εὐγενής.

Menander 533.

40

LUCK

εἰ γὰρ ἐγένου σύ, Τρόφιμε, τῶν πάντων μόνος,
ὅτ' ἔτικτεν ἡ μήτηρ σ', ἐφ' ᾧ τε διατελεῖν
πράττων ἃ βούλει καὶ διευτυχεῖν ἀεί,
καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,
ὀρθῶς ἀγανακτεῖς· ἐστὶ γάρ σ' ἐψευσμένος
ἄτοπόν τε πεποίηκ'. εἰ δ' ἐπὶ τοῖς αὐτοῖς νόμοις
ἐφ' οἷσπερ ἡμεῖς ἔσπασας τὸν ἀέρα

τὸν κοινόν, ἵνα σοι καὶ τραγικώτερον λαλῶ,
οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον.
τὸ δὲ κεφάλαιον τῶν λόγων, ἄνθρωπος εἶ,
οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος καὶ πάλιν
ταπεινότητα ζῷον οὐδὲν λαμβάνει.
σὺ δ' οὔθ' ὑπερβάλλοντα, Τρόφιμ', ἀπώλεσας
ἀγαθά, τὰ νυνί τ' ἔστι μέτριά σοι κακά.
ὥστ' ἀνὰ μέσον που καὶ τὸ λοιπὸν δὴ φέρε.

Menander 531.

41

Wine

ὁ Μνησίθεος δ' ἔφη τὸν οἶνον τοὺς θεοὺς
θνητοῖς καταδεῖξαι τοῖς μὲν ὀρθῶς χρωμένοις
ἀγαθὸν μέγιστον, τοῖς δ' ἀτάκτως τοὔμπαλιν·
τροφήν τε γὰρ δίδωσι τοῖς εὖ χρωμένοις,
ἰσχύν τε ταῖς ψυχαῖσι καὶ τοῖς σώμασιν·
εἰς τὴν ἰατρικήν τε χρησιμώτατον·
καὶ τοῖς ποτοῖς γὰρ φαρμάκοις κεράννυται,
καὶ τοῖσιν ἑλκωθεῖσιν ὠφελίαν ἔχει·
ἐν ταῖς συνουσίαις τε ταῖς καθ' ἡμέραν
τοῖς μὲν μέτριον πίνουσι καὶ κεκραμένον
εὐθυμίαν, ἐὰν δ' ὑπερβάλῃς, ὕβριν,
ἂν ἴσον ἴσῳ δὲ προσφέρῃ, μανίαν ποιεῖ,
ἐὰν δ' ἄκρατον, παράλυσιν τῶν σωμάτων.

Com. Frag. Adesp. 106.

42

Money

περὶ χρημάτων λαλεῖς, ἀβεβαίου πράγματος·
εἰ μὲν γὰρ οἶσθα ταῦτα παραμενοῦντά σοι

εἰς πάντα τὸν χρόνον, φύλαττε μηδενὶ
ἄλλῳ μεταδιδούς, αὐτὸς ὢν δὲ κύριος·
εἰ μὴ δὲ σαυτοῦ, τῆς τύχης δὲ πάντ' ἔχεις,
τί ἂν φθονοίης, ὦ πάτερ, τούτων τινί;
αὐτὴ γὰρ ἄλλῳ τυχὸν ἀναξίῳ τινὶ
παρελομένη σου πάντα προσθήσει πάλιν.
δίοπερ ἔγωγέ φημι δεῖν, ὅσον χρόνον
εἶ κύριος, χρῆσθαί σε γενναίως, πάτερ,
αὐτὸν ἐπικουρεῖν πᾶσιν, εὐπόρους ποιεῖν,
οὓς ἂν δύνῃ πλείστους διὰ σαυτοῦ· τοῦτο γὰρ
ἀθάνατόν ἐστι, κἄν ποτε πταίσας τύχῃς,
ἐκεῖθεν ἔσται ταὐτὸ τοῦτό σοι πάλιν.
πολλῷ δὲ κρεῖττόν ἐστιν ἐμφανὴς φίλος
ἢ πλοῦτος ἀφανής, ὃν σὺ κατορύξας ἔχεις.

Menander 128.

43

A School of Cookery

πολλῶν μαθητῶν γενομένων ἐμοί, Λύκε,
διὰ τὸ νοεῖν ἀεί τι καὶ ψυχὴν ἔχειν
ἄπει γεγονὼς μάγειρος ἐκ τῆς οἰκίας
ἐν οὐχ ὅλοις δέκα μησί, πολὺ νεώτατος.
Ἆγις Ῥόδιος ὤπτηκεν ἰχθὺν μόνος ἄκρως·
Νηρεὺς δ' ὁ Χῖος γόγγρον ἧψε τοῖς θεοῖς·
θρῖον τὸ λευκὸν οὑξ Ἀθηνῶν Χαριάδης.
ζωμὸς μέλας ἐγένετο πρώτῳ Λαμπρίᾳ.
ἀλλᾶντας Ἀφθόνητος, Εὔθυνος φακῆν,
ἀπὸ συμβολῶν συνάγουσιν ἀρίστων πόρους.
οὗτοι μετ' ἐκείνους τοὺς σοφιστὰς τοὺς πάλαι
γεγόνασιν ἡμῶν ἑπτὰ δεύτεροι σοφοί.
ἐγὼ δ' ὁρῶν τὰ πολλὰ προκατειλημμένα
εὗρον τὸ κλέπτειν πρῶτος, ὥστε μηδένα

μισεῖν με διὰ τοῦτ', ἀλλὰ πάντας λαμβάνειν.
ὑπ' ἐμοῦ δ' ὁρῶν σὺ τοῦτο προκατειλημμένον
ἴδιον ἐφεύρηκάς τι, καὶ τοῦτ' ἐστὶ σόν.

Euphron 1.

44

A Clumsy Cook

μάγειρ', ἀηδής μοι δοκεῖς εἶναι σφόδρα·
πόσας τραπέζας μέλλομεν ποιεῖν, τρίτον
ἤδη μ' ἐρωτᾷς· χοιρίδιον ἓν θύομεν,
ὀκτὼ ποιήσαντες τραπέζας δ' ἢ μίαν,
τί σοὶ διαφέρει τοῦτο; παράθες σηπίαν.
οὐκ ἔστι κανδύλους ποιεῖν, οὐδ' οἷα σὺ
εἴωθας εἰς ταὐτὸν καρυκεύειν, μέλι,
σεμίδαλιν, ᾠά. πάντα γὰρ τἀναντία
νῦν ἐστιν· ὁ μάγειρος γὰρ ἐγχύτους ποιεῖ,
πλακοῦντας ὀπτᾷ, χόνδρον ἕψει καὶ φέρει
μετὰ τὸ τάριχος, εἶτα θρῖον καὶ βότρυς.
ἡ δημιουργὸς δ' ἀντιπαρατεταγμένη
κρεάδι' ὀπτᾷ καὶ κίχλας τραγήματα.
ἔπειθ' ὁ δειπνῶν μὲν τραγηματίζεται,
μυρισάμενος δὲ καὶ στεφανωσάμενος πάλιν
δειπνεῖ μελίπηκτα τὰς κίχλας.

Menander 518.

45

A Search for Traitors

διαλαβόντες τὰς οἰκίας ἐβάδιζον. καὶ ἐμὲ μὲν ξένους ἑστιῶντα κατέλαβον, οὓς ἐξελάσαντες Πείσωνί με παραδιδόασιν· οἱ δ' ἄλλοι εἰς τὸ ἐργαστήριον

ἐλθόντες τὰ ἀνδράποδα ἀπεγράφοντο. ἐγὼ δὲ Πείσωνα μὲν ἠρώτων εἰ βούλοιτό με σῶσαι χρήματα λαβών. ὁ δ' ἔφασκεν, εἰ πολλὰ εἴη. εἶπον οὖν ὅτι τάλαντον ἀργυρίου ἕτοιμος εἴην δοῦναι· ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. ἐγὼ δ' εἰσελθὼν εἰς τὸ δωμάτιον τὴν κιβωτὸν ἀνοιγνυμι· Πείσων δ' αἰσθόμενος εἰσέρχεται, καὶ ἰδὼν τὰ ἐνόντα καλεῖ τῶν ὑπηρετῶν δύο καὶ τὰ ἐν τῇ κιβωτῷ λαβεῖν ἐκέλευσεν. ἐπεὶ δὲ τρία τάλαντα εἶχεν ἀργυρίου, καὶ τετρακοσίους κυζικηνοὺς καὶ ἑκατὸν δαρεικοὺς καὶ φιάλας ἀργυρᾶς τέτταρας, ἐδεόμην αὐτοῦ ἐφόδιά μοι δοῦναι. ὁ δ' ἀγαπήσειν μ' ἔφασκεν, εἰ τὸ σῶμα σωσω. ἐν τοιούτῳ δ' ὄντι μοι κινδυνεύειν ἐδόκει —ἔμπειρος γὰρ ὢν ἐτύγχανον τῆς οἰκίας, καὶ ᾔδη ὅτι ἀμφίθυρος εἴη· ἐδόκει οὖν ταύτῃ πειρᾶσθαι σωθῆναι, καὶ ἐνεθυμούμην ὅτι ἐὰν μὲν λάθω, σωθήσομαι, ἐὰν δὲ ληφθῶ, ὁμοίως ἀποθανοῦμαι. ταῦτα διανοηθεὶς ἔφευγον, ἐκείνων ἐπὶ τῇ αὐλείῳ θύρᾳ τὴν φυλακὴν ποιουμένων· τριῶν δὲ θυρῶν οὔσων, ἃς ἔδει με διελθεῖν, ἅπασαι ἀνεῳγμέναι ἔτυχον.

Lysias, *Eratosthenes* 388.

46

A Case of Poisoning

ὑπερῷόν τι ἦν τῆς ἡμετέρας οἰκίας, ὃ εἶχε Φιλόνεως ὁπότ' ἐν ἄστει διατρίβοι, ἀνὴρ καλός τε κἀγαθὸς καὶ φίλος τῷ ἡμετέρῳ πατρί· καὶ ἦν αὐτῷ γυνή, ζηλότυπος οὖσα. ταύτην οὖν ἡ μητρυιὰ ἡ ἐμὴ ἐποιήσατο φίλην. αἰσθομένη δ' ὅτι ἀδικεῖσθαι μέλλει ὑπὸ τοῦ Φιλόνεω, μεταπέμπεται, καὶ ἐπειδὴ ἦλθεν, ἔλεξεν αὐτῇ ὅτι καὶ αὐτὴ ἀδικοῖτο ὑπὸ τοῦ πατρὸς τοῦ ἡμετέρου· εἰ οὖν ἐθέλοι πείθεσθαι, ἔφη ἱκανὴ εἶναι ἐκείνῃ τε τὸν Φιλόνεων φίλον ποιῆσαι καὶ αὑτῇ τὸν ἐμὸν πατέρα, εἶναι φάσκουσα

αὐτῆς μὲν τοῦτο εὕρημα, ἐκείνης δ' ὑπηρέτημα. ἠρώτα οὖν αὐτὴν εἰ ἐθελήσει διακονῆσαί οἱ. καὶ ἣ ὑπέσχετο τάχιστα, ὡς οἶμαι. μετὰ ταῦτα ἔτυχε τῷ Φιλόνεῳ ἐν Πειραιεῖ ὄντα ἱερὰ Διῒ Κτησίῳ, ὁ δὲ πατὴρ ὁ ἐμὸς εἰς Νάξον πλεῖν ἔμελλε. κάλλιστον οὖν εἶναι ἐδόκει τῷ Φιλόνεῳ τῆς αὐτῆς ὁδοῦ ἅμα μὲν προπέμψαι εἰς τὸν Πειραιᾶ τὸν πατέρα τὸν ἐμὸν φίλον ὄντα ἑαυτῷ, ἅμα δὲ θύσαντα τὰ ἱερὰ ἑστιᾶσαι ἐκεῖνον. ἡ οὖν γυνὴ τοῦ Φιλόνεω ἠκολούθει τῆς θυσίας ἕνεκεν· καὶ ἐπειδὴ ἦσαν ἐν τῷ Πειραιεῖ, οἷον εἰκός, ἔθυον. καὶ ἐπειδὴ αὐτῷ ἐτέθυτο τὰ ἱερά, ἐντεῦθεν ἐβουλεύετο ἡ ἄνθρωπος ὅπως ἂν αὐτοῖς τὸ φάρμακον δοίη· πότερον πρὸ δείπνου, ἢ ἀπὸ δείπνου. ἔδοξεν οὖν αὐτῇ βουλομένῃ βέλτιον εἶναι μετὰ δεῖπνον δοῦναι, ταῖς Κλυταιμνήστρας τῆς τούτου μητρὸς ὑποθήκαις ἅμα διακονοῦσα. καὶ τὰ μὲν ἄλλα μακρότερος ἂν εἴη λόγος περὶ τοῦ δείπνου ἐμοί τε διηγήσασθαι ὑμῖν τ' ἀκοῦσαι· ἀλλὰ πειράσομαι τὰ λοιπὰ ὡς ἐν βραχυτάτοις ὑμῖν διηγήσασθαι, ὡς γεγένηται ἡ δόσις τοῦ φαρμάκου. ἐπειδὴ γὰρ ἐδεδειπνήκεισαν, οἷον εἰκός, ὁ μὲν θύων Διῒ Κτησίῳ κἀκεῖνον ὑποδεχόμενος, ὁ δ' ἐκπλεῖν τε μέλλων καὶ παρ' ἀνδρὶ ἑταίρῳ δειπνῶν, σπονδάς τ' ἐποιοῦντο καὶ λιβανωτὸν ὑπὲρ αὐτῶν ἐπετίθεσαν· ἡ δὲ γυνὴ τοῦ Φιλόνεω τὴν σπονδὴν ἅμα ἐκχέουσα ἐκείνοις εὐχομένοις ἃ οὐκ ἔμελλε τελεῖσθαι, ἐνέχει τὸ φάρμακον. καὶ ἅμα οἰομένη δεξιὸν ποιεῖν πλέον δίδωσι τῷ Φιλόνεῳ—ὡς μᾶλλον φιλησομένη ὑπὸ τοῦ Φιλόνεω, εἰ δοίη πλέον· οὔπω γὰρ ᾔδει ὑπὸ τῆς μητρυιᾶς τῆς ἐμῆς ἐξαπατωμένη, πρὶν ἐν τῷ κακῷ ἤδη ἦν·—τῷ δὲ πατρὶ τῷ ἡμετέρῳ ἔλαττον ἐνέχει. καὶ ἐκεῖνοι ἐπειδὴ ἀπέσπεισαν, ἐκπίνουσιν ὑστάτην πόσιν. ὁ μὲν οὖν Φιλόνεως εὐθὺς παραχρῆμα ἀποθνήσκει· ὁ δὲ πατὴρ ὁ ἡμέτερος ἐς νόσον ἐμπίπτει, ἐξ ἧς καὶ ἀπώλετο εἰκοσταῖος.

Antiphon, *Categ. Pharm.* 611.

47

A Bad Neighbour

οὐκ ἦν ἄρα, ὦ ἄνδρες Ἀθηναῖοι, χαλεπώτερον οὐδὲν ἢ γείτονος πονηροῦ καὶ πλεονέκτου τυχεῖν, ὅπερ ἐμοὶ νυνὶ συμβέβηκεν.

τοῦ γὰρ χωρίου τοῦ τ' ἐμοῦ καὶ τοῦ τούτων τὸ μέσον ὁδός ἐστιν· ὄρους δὲ περιέχοντος κύκλῳ, τοῖς χωρίοις τὸ καταρρέον ὕδωρ τῇ μὲν εἰς τὴν ὁδόν, τῇ δὲ εἰς τὰ χωρία συμβαίνει φέρεσθαι. καὶ δὴ καὶ τοῦτ' εἰσπῖπτον ἐνίοτε εἰς τὴν ὁδόν, ᾗ μὲν ἂν εὐοδῇ, φέρεται κάτω κατὰ τὴν ὁδόν, ᾗ δ' ἂν ἐνστῇ τι, τηνικαῦτα τοῦτ' εἰς τὰ χωρία ὑπεραίρειν ἀναγκαῖον ἤδη. καὶ δὴ καὶ κατὰ τοῦτο τὸ χωρίον, γενομένης ἐπομβρίας, συνέβη τὸ ὕδωρ ἐμβαλεῖν· ἀμεληθὲν δέ, οὔπω τοῦ πατρὸς κατέχοντος αὐτό, ἀλλ' ἀνθρώπου δυσχεραίνοντος ὅλως τοῖς τόποις καὶ μᾶλλον ἀστικοῦ, δὶς καὶ τρὶς ἐμβαλὸν τὸ ὕδωρ τά τε χωρία ἐλυμήνατο καὶ μᾶλλον ὡδοποίει. διὸ δή, ταῦθ' ὁ πατὴρ ὁρῶν, ὡς ἐγὼ τῶν εἰδότων ἀκούω, τὴν αἱμασιὰν περιῳκοδόμησε ταύτην.

καὶ ὡς ταῦτ' ἀληθῆ λέγω, παρέξομαι μὲν καὶ μάρτυρας ὑμῖν τοὺς εἰδότας· πολὺ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν μαρτύρων ἰσχυρότερα τεκμήρια. Καλλικλῆς μὲν γάρ φησι τὴν χαράδραν ἀποικοδομήσαντα βλάπτειν ἐμὲ αὐτόν· ἐγὼ δ' ἀποδείξω χωρίον ὂν τοῦτο, ἀλλ' οὐ χαράδραν. ἔστι γὰρ ἐν τῷ χωρίῳ δένδρα πεφυτευμένα, ἄμπελοι καὶ συκαῖ. καίτοι τίς ἐν χαράδρᾳ ταῦτ' ἂν φυτεύειν ἀξιώσειεν; οὐδείς γε. τίς δὲ πάλιν τοὺς αὑτοῦ προγόνους θάπτειν; οὐδὲ τοῦτ' οἶμαι. ταῦτα τοίνυν ἀμφότερ', ὦ ἄνδρες δικασταί, συμβέβηκε· καὶ γὰρ τὰ δένδρα πεφύτευται πρότερον ἢ τὸν πατέρα περιοικοδομῆσαι τὴν αἱμασιάν, καὶ τὰ

μνήματα παλαιὰ καὶ πρὶν ἡμᾶς κτήσασθαι τὸ χωρίον γεγενημένα ἐστιν. καίτοι τούτων ὑπαρχόντων, τίς ἂν ἔτι λόγος ἰσχυρότερος γένοιτο, ὦ ἄνδρες Ἀθηναῖοι; τὰ γὰρ ἔργα φανερῶς ἐξελέγχει.

καὶ σκέψασθε δή, εἴ τις ὑμῶν ἑόρακεν ἢ ἀκήκοε πώποτε παρ᾽ ὁδὸν χαράδραν οὖσαν. οἶμαι γὰρ ἐν ἁπάσῃ τῇ χώρᾳ μηδεμίαν εἶναι. τοῦ γὰρ ἕνεκα, ὃ διὰ τῆς ὁδοῦ τῆς δημοσίας ἔμελλε βαδιεῖσθαι φερόμενον, τούτῳ διὰ τῶν ἰδίων χωρίων χαράδραν ἐποίησέ τις; ἔπειτα τίς ἂν ὑμῶν εἴτ᾽ ἐν ἀγρῷ νὴ Δί᾽, εἴτ᾽ ἐν ἄστει, τὸ διὰ τῆς ὁδοῦ ὕδωρ ῥέον εἰς τὸ χωρίον ἢ τὴν οἰκίαν δέξαιτ᾽ ἂν αὑτοῦ; ἀλλ᾽ οὐκ αὐτὸ τοὐναντίον, κἂν βιάσηταί ποτε, ἀποφράττειν ἅπαντες καὶ παροικοδομεῖν εἰώθαμεν; οὗτος οὖν ἀξιοῖ με ἐκ τῆς ὁδοῦ τὸ ὕδωρ εἰσδεξάμενον εἰς τὸ ἐμαυτοῦ χωρίον, ὅταν τὸ τούτου παραλλάξῃ χωρίον, πάλιν εἰς τὴν ὁδὸν ἐξάγειν. οὐκοῦν πάλιν ὁ μετὰ τοῦτον γεωργῶν τῶν γειτόνων ἐγκαλεῖ· τὸ γὰρ ὑπὲρ τούτου δίκαιον δῆλον ὅτι κἀκείνοις ὑπάρξει πᾶσι λέγειν. ἀλλὰ μὴν εἴ γε εἰς τὴν ὁδὸν ὀκνήσω τὸ ὕδωρ ἐξάγειν, ἦ που σφόδρα θαρρῶν εἰς τὸ τοῦ πλησίον χωρίον ἀφείην ἄν. ὅπου γὰρ νυνὶ ἀτιμήτους φεύγω δίκας, διότι τὸ ἐκ τῆς ὁδοῦ ῥέον ὕδωρ εἰς τὸ τούτου χωρίον εἰσέπεσε, τί πείσομαι πρὸς Διὸς ὑπὸ τῶν ἐκ τοῦ χωρίου τοῦ ἐμοῦ τοῦ ὕδατος εἰσπεσόντος βλαπτομένων; ὅπου δὲ μήτ᾽ εἰς τὴν ὁδὸν μήτ᾽ εἰς τὰ χωρία ἀφεῖναί μοι τὸ ὕδωρ ἔξεστι δεξαμένῳ, τί λοιπόν, ὦ ἄνδρες δικασταί, πρὸς θεῶν; οὐ γὰρ ἐκπιεῖν γε δήπου με Καλλικλῆς αὐτὸ προσαναγκάσει.

Demosthenes, *Callicles*, *init.*

48

Disagreeable Neighbours

ἐξῆλθον, ἔτος τουτὶ τρίτον, εἰς Πάνακτον φρουρᾶς ἡμῖν προγραφείσης. ἐσκήνωσαν οὖν οἱ υἱεῖς οἱ Κόνωνος τουτουὶ ἐγγὺς ἡμῶν, ὡς οὐκ ἂν ἐβουλόμην· ἡ γὰρ ἐξ ἀρχῆς ἔχθρα καὶ τὰ προσκρούσματα ἐκεῖθεν ἡμῖν συνέβη, ἐξ ὧν δ' ἀκούσεσθε. ἔπινον ἑκάστοτε οὗτοι τὴν ἡμέραν, ἐπειδὴ τάχιστα ἀριστήσαιεν, ὅλην· καὶ τοῦτο, ἕως περ ἦμεν ἐπὶ τῇ φρουρᾷ, διετέλουν ποιοῦντες. ἡμεῖς δέ, ὥσπερ ἐνθάδε εἰώθαμεν, οὕτω διήγομεν καὶ ἔξω. ἣν οὖν δειπνοποιεῖσθαι τοῖς ἄλλοις ὥραν συμβαίνοι, ταύτην ἂν ἤδη ἐπαροίνουν οὗτοι, τὰ μὲν πολλὰ εἰς τοὺς παῖδας ἡμῶν τοὺς ἀκολουθούς, τελευτῶντες δὲ καὶ εἰς ἡμᾶς αὐτούς. φήσαντες γὰρ καπνίζειν αὐτοὺς ὀψοποιουμένους τοὺς παῖδας ἢ κακῶς λέγειν, ὅ τι τύχοιεν, ἔτυπτον, καὶ τὰς ἀμίδας κατεσκεδάννυον, καὶ ἀσελγείας καὶ ὕβρεως οὐδ' ὁτιοῦν ἀπέλειπον. ὁρῶντες δ' ἡμεῖς ταῦτα καὶ λυπούμενοι, τὸ μὲν πρῶτον ἀπεπεμψάμεθα· ὡς δ' ἐχλεύαζον ἡμᾶς καὶ οὐκ ἐπαύοντο, τῷ στρατηγῷ τὸ πρᾶγμα εἴπομεν, κοινῇ πάντες οἱ σύσσιτοι προσελθόντες, οὐκ ἐγὼ τῶν ἄλλων ἔξω. λοιδορηθέντος δ' αὐτοῖς ἐκείνου καὶ κακίσαντος, οὐ μόνον περὶ ὧν εἰς ἡμᾶς ἠσέλγαινον, ἀλλὰ καὶ περὶ ὧν ὅλως ἐποίουν ἐν τῷ στρατοπέδῳ, τοσούτου ἐδέησαν παύσασθαι ἢ αἰσχυνθῆναι, ὥστ' ἐπειδὴ θᾶττον συνεσκότασεν, εὐθὺς εἰς ἡμᾶς εἰσεπήδησαν ταύτῃ τῇ ἑσπέρᾳ. καὶ τὸ μὲν πρῶτον κακῶς ἔλεγον, τελευτῶντες δὲ καὶ πληγὰς ἐνέτειναν ἐμοί· καὶ τοσαύτην κραυγὴν καὶ θόρυβον περὶ τὴν σκηνὴν ἐποίησαν, ὥστε καὶ τὸν στρατηγὸν καὶ τοὺς ταξιάρχους ἐλθεῖν καὶ τῶν ἄλλων στρατιωτῶν τινας, οἵπερ ἐκώλυσαν μηδὲν ἡμᾶς ἀνήκεστον παθεῖν μηδ' αὐτοὺς ποιῆσαι, παροινουμένους ὑπὸ τούτων. τοῦ δὲ

πράγματος εἰς τοῦτο προελθόντος, ὡς δεῦρ' ἐπανήλθομεν, ἦν ἡμῖν ὡς εἰκὸς ἐκ τούτων ὀργὴ καὶ ἔχθρα πρὸς ἀλλήλους.

χρόνῳ δ' ὕστερον οὐ πολλῷ περιπατοῦντος, ὥσπερ εἰώθη, ἑσπέρας ἐν ἀγορᾷ μου μετὰ Φανοστράτου τοῦ Κηφισέως τῶν ἡλικιωτῶν τινος, παρέρχεται Κτησίας ὁ υἱὸς ὁ τούτου, μεθύων, κατὰ τὸ Λεωκόριον, ἐγγὺς τῶν Πυθοδώρου. κατιδὼν δ' ἡμᾶς καὶ κραυγάσας καὶ διαλεχθείς τι πρὸς αὑτὸν οὕτως ὡς ἂν μεθύων, ὥστε μὴ μαθεῖν ὅ τι λέγοι, παρῆλθεν πρὸς Μελίτην ἄνω· ἔπινον γὰρ ἐνταῦθα (ταῦτα γὰρ ὕστερον ἐπυθόμεθα) παρὰ Παμφίλῳ τῷ κναφεῖ, Κόνων οὑτοσί, Θεότιμός τις, Ἀρχεβιάδης, Σπίνθαρος ὁ Εὐβούλου, Θεογένης ὁ Ἀνδρομένους, πολλοί τινες· οὓς ἐξαναστήσας ὁ Κτησίας ἐπορεύετο εἰς τὴν ἀγοράν. καὶ ἡμῖν συμβαίνει, ἀναστρέφουσιν ἀπὸ τοῦ Φερρεφαττίου καὶ περιπατοῦσι, πάλιν κατ' αὐτό πως τὸ Λεωκόριον εἶναι, καὶ τούτοις περιτυγχάνομεν. ὡς δ' ἀνεμίχθημεν, εἷς μὲν αὐτῶν, ἀγνώς τις, τῷ Φανοστράτῳ προσπίπτει καὶ κατεῖχεν ἐκεῖνον· Κόνων δ' οὑτοσὶ καὶ ὁ υἱὸς αὐτοῦ καὶ ὁ Ἀνδρομένους υἱὸς ἐμοὶ περιπεσόντες, τὸ μὲν πρῶτον ἐξέδυσαν, εἶθ' ὑποσκελίσαντες καὶ ῥάξαντες εἰς τὸν βόρβορον, οὕτω διέθηκαν ἐναλλόμενοι καὶ ὑβρίζοντες, ὥστε τὸ μὲν χεῖλος διακόψαι, τοὺς δ' ὀφθαλμοὺς συγκλεῖσαι, οὕτω δὲ κακῶς ἔχοντα ὑπολιπεῖν, ὥστε μήτε ἀναστῆναι μήτε φθέγξασθαι δύνασθαι. κείμενος δ' αὐτῶν ἤκουον πολλὰ καὶ δεινὰ λεγόντων. καὶ τὰ μὲν ἄλλα καὶ βλασφημίαν ἔχει τινά, καὶ ὀνομάζειν ὀκνήσαιμ' ἂν ἐν ὑμῖν ἔνια· ὃ δὲ τῆς ὕβρεώς ἐστι τῆς τούτου σημεῖον, καὶ τεκμήριον τοῦ πᾶν τὸ πρᾶγμα ὑπὸ τούτου γεγενῆσθαι, τοῦθ' ὑμῖν ἐρῶ. ᾖδε γάρ, τοὺς ἀλεκτρυόνας μιμούμενος τοὺς νενικηκότας· οἱ δὲ κροτεῖν τοῖς ἀγκῶσιν αὐτὸν ἠξίουν ἀντὶ πτερύγων τὰς πλευράς. καὶ μετὰ ταῦτα ἐγὼ μὲν ἀπεκομίσθην ὑπὸ

τῶν παρατυχόντων γυμνός· οὗτοι δ' ᾤχοντο, θοἰμάτιον λαβόντες μου. ὡς δ' ἐπὶ τὴν θυρὰν ἦλθον, κραυγὴ καὶ βοὴ τῆς μητρὸς καὶ τῶν θεραπαινίδων ἦν· καὶ μόλις ποτὲ εἰς τὸ βαλανεῖον ἐνεγκόντες με καὶ περιπλύναντες, ἔδειξαν τοῖς ἰατροῖς. μετὰ δὲ ταῦτα, τῶν μὲν οἰδμημάτων τῶν ἐν τῷ προσώπῳ καὶ τῶν ἑλκῶν οὐδὲν ἔφη φοβεῖσθαι λίαν ὁ ἰατρός· πυρετοὶ δὲ παρηκολούθουν μοι συνεχεῖς, καὶ ἀλγήματα ὅλου τοῦ σώματος πάνυ σφοδρὰ καὶ δεινά, μάλιστα δὲ τῶν πλευρῶν καὶ τοῦ ἤτρου, καὶ τῶν σιτίων ἀπεκεκλῄσμην.

Demosthenes, *Conon* § 3.

49

A Pair of Rascals

Ζηνόθεμις οὑτοσὶ ὢν ὑπηρέτης Ἡγεστράτου τοῦ ναυκλήρου, ὃν καὐτὸς ἔγραψεν ἐν τῷ ἐγκλήματι, ὡς ἐν τῷ πελάγει ἀπώλετο (πῶς δ', οὐ προσέγραψεν, ἀλλ' ἐγὼ φράσω), ἀδίκημα τοιουτονὶ μετ' ἐκείνου συνεσκευάσατο. χρήματ' ἐν ταῖς Συρακούσαις ἐδανείζεθ' οὗτος κἀκεῖνος. ὡμολόγει δ' ἐκεῖνος μὲν πρὸς τοὺς τούτῳ δανείζοντας, εἴ τις ἔροιτο, ἐνεῖναι σῖτον ἐν τῇ νηὶ τούτῳ πολύν, οὗτος δὲ πρὸς τοὺς ἐκείνῳ, τὸν γόμον οἰκεῖον ἔχειν αὐτὸν τῆς νεώς· ὢν δ' ὁ μὲν ναύκληρος, ὁ δ' ἐπιβάτης, ἐπιστεύοντ' εἰκότως ἃ περὶ ἀλλήλων ἔλεγον. λαμβάνοντες δὲ τὰ χρήματα, οἴκαδ' ἀπέστελλον εἰς τὴν Μασσαλίαν, καὶ οὐδὲν εἰς τὴν ναῦν εἰσέφερον. οὐσῶν δὲ τῶν συγγραφῶν, ὥσπερ εἰώθασιν ἅπασαι, σωθείσης τῆς νεὼς ἀποδοῦναι τὰ χρήματα, ἵν' ἀποστερήσαιεν τοὺς δανείσαντας, τὴν ναῦν καταδῦσαι ἐβουλεύσαντο. ὁ μὲν οὖν Ἡγέστρατος, ὡς ἀπὸ τῆς γῆς ἀπῆραν δυοῖν ἢ τριῶν ἡμερῶν πλοῦν, καταβὰς τῆς νυκτὸς εἰς κοίλην ναῦν, διέκοπτε τοῦ πλοίου

τοὔδαφος. οὑτοσὶ δ', ὡς οὐδὲν εἰδὼς ἄνω μετὰ τῶν ἄλλων ἐπιβατῶν διέτριβεν. ψόφου δὲ γενομένου, αἰσθάνονται οἱ ἐν τῷ πλοίῳ, ὅτι κακόν τι ἐν κοίλῃ νηὶ γίγνεται καὶ βοηθοῦσι κάτω. ὡς δ' ἡλίσκεθ' ὁ Ἡγέστρατος καὶ δίκην δώσειν ὑπελάμβανε, φεύγει καὶ ἐκδιωκόμενος ῥίπτει αὑτὸν εἰς τὴν θάλατταν, διαμαρτὼν δὲ τοῦ λέμβου διὰ τὸ νύκτ' εἶναι, ἀπεπνίγη. ἐκεῖνος μὲν οὖν οὕτως, ὥσπερ ἄξιος ἦν, κακὸς κακῶς ἀπώλετο, ἃ τοὺς ἄλλους ἐπεβούλευσε ποιῆσαι, ταῦτα παθὼν αὐτός.

Demosthenes, *Zenothemis* § 4.

50

A Prison Scene

ἓν τοίνυν εἰπὼν ἔτι τῶν ἰδίων αὐτοῦ πονηρευμάτων τὰ λοίπ' ἐάσω. πρὶν γὰρ ἐξελθεῖν ἐκ τοῦ δεσμωτηρίου ἐμπεσόντος ἀνθρώπου τινὸς Ταναγραίου πρὸς κατεγγύην γραμματεῖον ἔχοντος, προσελθὼν καὶ λαλῶν ὁτιδήποθ' ὑφαιρεῖται τὸ γραμματεῖον. αἰτιωμένου δὲ καὶ δεινὰ ποιοῦντος τἀνθρώπου, καὶ λέγοντος ὅτι οὐδεὶς ἄλλος ὑφῄρηται, εἰς τοῦτ' ἀφικνεῖται βδελυρίας, ὥστε τύπτειν ἐπεχείρησε τὸν ἄνθρωπον. νεαλὴς δὲ καὶ πρόσφατος ὢν ἐκεῖνος, περιῆν αὐτοῦ τεταριχευμένου καὶ πολὺν χρόνον ἐμπεπτωκότος. ὡς δ' εἰς τοῦθ' ἧκεν, ἀπεσθίει τὴν ῥῖνα τἀνθρώπου. καὶ τότε μὲν περὶ τὴν γεγονυῖαν συμφορὰν ἄνθρωπος γενόμενος, ἀπέστη τοῦ τὸ γραμματεῖον ἐρευνᾶν καὶ ζητεῖν· ὕστερον δ' εὑρίσκουσι τὸ γραμματεῖον ἐν κιβωτίῳ τινί, οὗ τὴν κλεῖν οὗτος εἶχεν. καὶ μετὰ ταῦτα ψηφίζονται περὶ αὐτοῦ τοῦθ' οἱ ἐν τῷ οἰκήματι, μὴ πυρός, μὴ λύχνου, μὴ ποτοῦ, μὴ βρωτοῦ μηδένα μηδενὸς τούτῳ κοινωνεῖν, μηδὲ λαμβάνειν, μηδ' αὐτὸν τούτῳ διδόναι. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω,

κάλει μοι τὸν ἄνθρωπον, οὗ τὴν ῥῖν' ὁ μιαρὸς οὗτος ἐσθίων κατέφαγεν.

Demosthenes, *Aristogeiton* i. § 60.

51

A Mysterious Disappearance

ἐγὼ δὲ τὸν μὲν πλοῦν ἐποιησάμην ἐκ τῆς Μιτυλήνης ὦ ἄνδρες, ἐν τῷ πλοίῳ πλέων ᾧ Ἡρώδης οὗτος, ὅν φασιν ὑπ' ἐμοῦ ἀποθανεῖν· ἐπλέομεν δὲ εἰς τὴν Αἶνον, ἐγὼ μὲν ὡς τὸν πατέρα—ἐτύγχανε γὰρ ἐκεῖ ὢν τότε—ὁ δ' Ἡρώδης ἀνδράποδα Θρᾳξὶν ἀνθρώποις ἀπολύσων. συνέπλει δὲ τά τε ἀνδράποδα ἃ ἔδει αὐτὸν ἀπολῦσαι, καὶ οἱ Θρᾷκες οἱ λυσόμενοι. τούτων δ' ὑμῖν τοὺς μάρτυρας παρέξομαι.

ἡ μὲν πρόφασις ἑκατέρῳ τοῦ πλοῦ αὕτη· ἐτύχομεν δὲ χειμῶνί τινι χρησάμενοι, ὑφ' οὗ ἠναγκάσθημεν κατασχεῖν εἰς τῆς Μηθυμναίας τι χωρίον, οὗ τὸ πλοῖον ὥρμει εἰς ὃ μετεκβάντα φασὶν ἀποθανεῖν αὐτὸν τὸν Ἡρώδην. καὶ πρῶτον μὲν αὐτὰ ταῦτα σκοπεῖτε, ὅτι οὐ προνοίᾳ μᾶλλον ἐγίγνετο ἢ τύχῃ. οὔτε γὰρ πείσας τὸν ἄνδρα οὐδαμοῦ ἀπελέγχομαι σύμπλουν μοι γένεσθαι, ἀλλ' αὐτὸς καθ' αὑτὸν τὸν πλοῦν πεποιημένος ἕνεκα πραγμάτων ἰδίων· οὔτ' αὖ ἐγὼ ἄνευ προφασέως ἱκάνης φαίνομαι τὸν πλοῦν ποιησάμενος εἰς τὴν Αἶνον, οὔτε κατασχόντες εἰς τὸ χωρίον τοῦτο ἀπὸ παρασκευῆς οὐδεμιᾶς, ἀλλ' ἀνάγκῃ χρησάμενοι· οὔτ' αὖ ἐπειδὴ ὡρμισάμεθα, ἡ μετάβασις ἐγένετο εἰς τὸ ἕτερον πλοῖον οὐδενὶ μηχανήματι οὐδ' ἀπάτῃ, ἀλλ' ἀνάγκῃ καὶ τοῦτο ἐγίγνετο. ἐν ᾧ μὲν γὰρ ἐπλέομεν, ἀστέγαστον ἦν τὸ πλοῖον· εἰς ὃ δὲ μετέβημεν, ἐστεγασμένον. τοῦ δὲ ὑετοῦ ἕνεκα ταῦτ' ἦν. τούτων δ' ὑμῖν μαρτυρίας παρέξομαι.

ἐπειδὴ δὲ μετεξέβημεν εἰς τὸ ἕτερον πλοῖον, ἐπίνομεν.

καὶ ὁ μέν ἐστι φανερὸς ἐκβὰς ἐκ τοῦ πλοίου καὶ οὐκ εἰσβὰς πάλιν. ἐγὼ δὲ τὸ παράπαν οὐκ ἐξέβην τοῦ πλοίου τῆς νυκτὸς ἐκείνης. τῇ δ' ὑστεραίᾳ, ἐπειδὴ ἀφανὴς ἦν ὁ ἀνήρ, ἐζητεῖτο οὐδέν τι μᾶλλον ὑπὸ τῶν ἄλλων ἢ καὶ ὑπ' ἐμοῦ· καὶ εἴ τῳ τῶν ἄλλων ἐδόκει δεινὸν εἶναι, καὶ ἐμοὶ ὁμοίως. καὶ εἴς τε τὴν Μιτυλήνην ἐγὼ αἴτιος ἢ πεμφθῆναι ἄγγελον, καὶ τῇ ἐμῇ γνώμῃ ἐπέμπετο. καὶ ἄλλου οὐδενὸς ἐθέλοντος βαδίζειν, οὔτε τῶν ἀπὸ τοῦ πλοίου οὔτε τῶν αὐτῷ τῷ Ἡρώδῃ συμπλεόντων, ἐγὼ τὸν ἀκόλουθον τὸν ἐμαυτοῦ πέμπειν ἕτοιμος ἦ· καίτοι γε οὐ δήπου κατ' ἐμαυτοῦ μηνυτὴν ἔπεμπον εἰδώς. ἐπειδὴ δὲ ὁ ἀνὴρ οὔτε ἐν τῇ Μιτυλήνῃ ἐφαίνετο ζητούμενος οὔτ' ἄλλοθι οὐδαμοῦ, πλοῦς τε ἡμῖν ἐγίνετο, καὶ τἆλλ' ἀνήγετο πλοῖα ἅπαντα, ᾠχόμην κἀγὼ πλέων. τούτων δ' ὑμῖν τοὺς μάρτυρας παρασχήσομαι.

τὰ μὲν γενόμενα ταῦτ' ἐστίν. ἐκ δὲ τούτων ἤδη σκοπεῖτε τὰ εἰκότα. πρῶτον μὲν γὰρ πρὶν ἀνάγεσθαί με εἰς τὴν Αἶνον, ὅτε ἦν ἀφανὴς ὁ ἀνήρ, οὐδεὶς ᾐτιάσατό με ἀνθρώπων, ἤδη πεπυσμένων τούτων τὴν ἀγγελίαν. οὐ γὰρ ἄν ποτε ᾠχόμην πλέων· ἀλλ' εἰς μὲν τὸ παραχρῆμα κρεῖσσον ἦν τὸ ἀληθὲς καὶ τὸ γεγενημένον τῆς τούτων αἰτιάσεως, καὶ ἅμα ἐγὼ ἔτι ἐπεδήμουν. ἐπειδὴ δὲ ἐγώ τε ᾠχόμην πλέων, καὶ οὗτοι ἐξ ἐπιβουλῆς συνέθεσαν ταῦτα καὶ ἐμηχανήσαντο κατ' ἐμοῦ, τότε ᾐτιάσαντο. λέγουσι δὲ ὡς ἐν μὲν τῇ γῇ ἀπέθανεν ὁ ἀνήρ, κἀγὼ λίθον ἐνέβαλον αὐτῷ εἰς τὴν κεφαλήν, ὃς οὐκ ἐξέβην τὸ πάραπαν ἐκ τοῦ πλοίου. καὶ τοῦτο μὲν ἀκριβῶς οὗτοι ἴσασιν. ὅπως δ' ἠφανίσθη ὁ ἀνήρ, οὐδενὶ λόγῳ εἰκότι δύνανται ἀποφαίνειν. δῆλον γὰρ ὅτι ἐγγύς που τοῦ λιμένος εἰκὸς ἦν τοῦτο γένεσθαι, τοῦτο μὲν μεθύοντος τοῦ ἀνδρός, τοῦτο δὲ νύκτωρ ἐκβάντος ἐκ τοῦ πλοίου· οὔτε γὰρ αὑτοῦ κρατεῖν ἴσως ἐδύνατο, οὔτε τῷ ἀπάγοντι νύκτωρ μακρὰν ὁδὸν ἡ πρόφασις ἂν εἰκότως ἐγίνετο· ζητουμένου δὲ τοῦ ἄνδρος

δύο ἡμέρας ἐν τῷ λιμένι καὶ ἄπωθεν τοῦ λιμένος, οὔτε ὀπτὴρ οὐδεὶς ἐφάνη οὔθ' αἷμα οὔτ' ἄλλον σημεῖον οὐδέν. κᾆτ' ἐγὼ συγχωρῶ τῷ τούτων λόγῳ, παρεχόμενος μὲν τοὺς μάρτυρας ὡς οὐκ ἐξέβην ἐκ τοῦ πλοίου, οὐδενὶ τρόπῳ εἰκὸς ἦν ἀφανισθέντα λαθεῖν τὸν ἄνθρωπον, εἴπερ μὴ πάνυ πόρρω ἀπῆλθεν ἀπὸ τῆς θαλάσσης. ἀλλ' ὡς κατεποντώθη λέγουσιν. ἐν τίνι πλοίῳ; δῆλον γὰρ ὅτι ἐξ αὐτοῦ τοῦ λιμένος ἦν τὸ πλοῖον. πῶς ἂν οὖν οὐκ ἐξευρέθη; καὶ μὴν εἰκός γε ἦν καὶ σημεῖόν τι γένεσθαι ἐν τῷ πλοίῳ ἀνδρὸς τεθνεῶτος καὶ ἐκβαλλομένου νύκτωρ. νῦν δ' ἐν ᾧ μὲν ἔπινε πλοίῳ καὶ ἐξ οὗ ἐξέβαινεν, ἐν τούτῳ φασὶν εὑρεῖν σημεῖα, ἐν ᾧ αὐτοὶ μὴ ἀποθανεῖν ὁμολογοῦσιν τὸν ἄνδρα· ἐν ᾧ δὲ κατεποντώθη, οὐχ εὗρον οὔτ' αὐτὸ τὸ πλοῖον οὔτε σημεῖον οὐδέν. τούτων δ' ὑμῖν τοὺς μάρτυρας παραστήσομαι.

ἐπειδὴ δὲ ἐγὼ φροῦδος μὲν ἦν πλέων εἰς τὴν Αἶνον, τὸ δὲ πλοῖον ἧκεν εἰς τὴν Μιτυλήνην ἐν ᾧ ἐγὼ καὶ Ἡρώδης ἐπλέομεν, πρῶτον μὲν εἰσβάντες εἰς τὸ πλοῖον ἠρεύνων, καὶ ἐπειδή τι αἷμα εὗρον, ἐνταῦθα ἔφασαν τεθνάναι τὸν ἄνδρα· ἐπειδὴ δὲ αὐτοῖς τοῦτο οὐκ ἐνεχώρει, ἀλλ' ἐφαίνετο τῶν προβάτων ὂν αἷμα, ἀποτραπόμενοι τούτου τοῦ λόγου συλλαβόντες ἐβασάνιζον τοὺς ἀνθρώπους. καὶ ὃν μὲν τότε παραχρῆμα ἐβασάνισαν, οὗτος μὲν οὐδὲν εἶπε περὶ ἐμοῦ φλαῦρον· ὃν δ' ἡμέραις ὕστερον πολλαῖς ἐβασάνισαν, ἔχοντες παρὰ σφίσιν αὐτοῖς τὸν πρόσθεν χρόνον, οὗτος μὲν ὁ πεισθεὶς ὑπὸ τούτων καὶ καταψευσάμενος ἐμοῦ.

Andocides, *Herodes* § 35.

52

A CONSPIRACY

ἐπαρθεὶς τοῖς πόλεως κακοῖς εἰσαγγέλλει Διοκλείδης εἰς τὴν βουλήν, φάσκων εἰδέναι τοὺς περικόψαντας τοὺς Ἑρμᾶς, καὶ εἶναι αὐτοὺς εἰς τριακοσίους· ὡς δ' ἴδοι καὶ περιτύχοι τῷ πράγματι, ἔλεγε. καὶ τούτοις, ὦ ἄνδρες, δέομαι ὑμῶν προσέχοντας τὸν νοῦν ἀναμιμνῄσκεσθαι ἐὰν ἀληθῆ λέγω, καὶ διδάσκειν ἀλλήλους· ἐν ὑμῖν γὰρ ἦσαν οἱ λόγοι, καί μοι ὑμεῖς τούτων μάρτυρές ἐστέ. ἔφη γὰρ εἶναι μὲν ἀνδράποδόν οἱ ἐπὶ Λαυρίῳ, δεῖν δὲ κομίσασθαι ἀποφοράν, ἀναστὰς δὲ πρωί, ψευσθεὶς τῆς ὥρας βαδίζειν· εἶναι δὲ πανσέληνον. ἐπεὶ δὲ πάρα τὸ Προπύλαιον τὸ Διονύσου ἦν, ὁρᾶν ἀνθρώπους πολλοὺς ἀπὸ τοῦ ᾠδείου καταβαίνοντας εἰς τὴν ὀρχήστραν· δείσας δὲ αὐτούς, εἰσελθὼν ὑπὸ τὴν σκιὰν καθέξεσθαι μεταξὺ τοῦ κίονος καὶ τῆς στήλης ἐφ' ᾗ ὁ στρατηγός ἐστιν ὁ χαλκοῦς. ὁρᾶν δὲ ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους, ἑστάναι δὲ κύκλῳ ἀνὰ πέντε καὶ δέκα ἄνδρας, τοὺς δὲ ἀνὰ εἴκοσιν· ὁρῶν δὲ αὐτῶν πρὸς τὴν σελήνην τὰ πρόσωπα τῶν πλείστων γιγνώσκειν. καὶ πρῶτον μέν, ὦ ἄνδρες, τοῦθ' ὑπέθετο δεινότατον πρᾶγμα (οἶμαι) ὅπως ἐν ἐκείνῳ εἴη ὅντινα βούλοιτο Ἀθηναίων φάναι τῶν ἄνδρων τούτων εἶναι, ὅντινα δὲ μὴ βούλοιτο, λέγειν ὅτι οὐκ ἦν. ἰδὼν δὲ ταῦτ' ἔφη ἐπὶ Λαύριον ἰέναι, καὶ τῇ ὑστεραίᾳ ὅτι οἱ Ἑρμαῖ εἶεν περικεκομμένοι· γνῶναι οὖν εὐθὺς ὅτι τούτων εἴη τῶν ἄνδρων τὸ ἔργον.

Andocides, *de Mysteriis* § 36.

53

A Plot

ἀφικόμενος προπέρυσιν εἰς τὴν πόλιν, οὔπω δύο μῆνας ἐπιδεδημηκὼς κατελέγην στρατιώτης. αἰσθόμενος δὲ τὸ πραχθέν, ὑπετοπούμην εὐθέως ἐπὶ μηδενὶ ὑγιεῖ κατειλέχθαι. προσελθὼν οὖν τῷ στρατηγῷ, ἐδήλωσα ὅτι ἐστρατευμένος εἴην, ἔτυχον δὲ οὐδενὸς τῶν μετρίων· προπηλακιζόμενος δ' ἠγανάκτουν μέν, ἡσυχίαν δ' εἶχον. ἀπορούμενος δὲ καὶ συμβουλευόμενός τινι τῶν πολιτῶν, τί χρήσωμαι τῷ πράγματι, ἐπυθόμην ὡς καὶ δήσειν με ἀπειλοῖεν, λέγοντες ὅτι οὐδὲν ἔλαττω χρόνον Καλλικράτους Πολύαινος ἐνδημοίη. κἀμοὶ μὲν τὰ προειρημένα διείλεκτο ἐπὶ τῇ Φιλίου τραπέζῃ· οἱ δὲ μετὰ Κτησικλέους τοῦ ἄρχοντος, ἀπαγγείλαντός τινος ὡς ἐγὼ λοιδοροῖμι, τοῦ νόμου ἀπαγορεύοντος ἐάν τις ἀρχὴν ἐν συνεδρίῳ λοιδορῇ, παρὰ τὸν νόμον ζημιῶσαι ἠξίωσαν. ἐπιβαλόντες δὲ τὸ ἀργύριον πράξασθαι μὲν οὐκ ἐπεχείρησαν, ἐξιούσης δὲ τῆς ἀρχῆς γράψαντες εἰς λεύκωμα τοῖς ταμίαις παρέδοσαν. οἵδε μὲν τάδε διεπράξαντο· οἱ δὲ ταμίαι, οὐδὲν ὅμοιον τοῖσδε διανοηθέντες, ἀνακαλεσάμενοι δὲ τοὺς παρόντας καὶ τὴν γραφήν, ἐσκοποῦντο τῆς αἰτίας τὴν πρόφασιν. ἀκούσαντες δὲ τὸ γεγενημένον, ἐννοούμενοι οἷα πεπονθὼς ἦν, τὸ μὲν πρῶτον ἔπειθον αὐτοὺς ἀφεῖναι, διδάσκοντες ὡς οὐκ ἐπιεικὲς εἴη τῶν πολιτῶν τινας διὰ τὰς ἔχθρας ἀναγράφεσθαι· ἀποροῦντες δὲ μεταπεῖσαι αὐτούς, τὸν παρ' ὑμῶν κίνδυνον ὑποστάντες ἄκυρον τὴν ζημίαν ἔκριναν.

ᾧ μὲν τρόπῳ παρεδόθην καὶ ἐζημιώθην, ἐπίστασθε· δεῖ δ' ὑμᾶς μὴ μόνον τοῦ ἐγκλήματος τὴν αἰτίαν, ἀλλὰ καὶ τῆς ἔχθρας τὴν πρόφασιν εἰδέναι. Σωστράτῳ γὰρ φίλος ἦν πρότερον τῆς τούτων ἔχθρας. γνώριμος

δὲ γενόμενος διὰ τῆς ἐκείνου δυναστείας, οὔτ' ἐχθρὸν ἐτιμωρησάμην οὔτε φίλον εὐεργέτησα· ζῶντος μὲν γὰρ διὰ τὴν ἀνάγκην καὶ τὴν ἡλικίαν ἐσχόλαζον, ἐκλιπόντος δὲ τὸν βίον οὔτε λόγῳ οὔτ' ἔργῳ ἔβλαψα οὐδένα τῶν κατηγορούντων· ἔχω δὲ καὶ τοιαῦτα εἰπεῖν, ἐξ ὧν ὠφελοίμην ἂν πολὺ δικαιότερον ὑπὸ τῶν ἀντιδίκων ἢ κακῶς πάσχοιμι. τὴν μὲν οὖν ὀργὴν διὰ τὰ προειρημένα συνεστήσαντο, προφάσεως οὐδεμιᾶς πρὸς ἔχθραν ὑπαρχούσης.

λόγῳ μὲν οὖν περὶ τῆς ἀναγραφῆς ἀγωνίζομαι, ἔργῳ δὲ περὶ πολιτείας. τυχὼν μὲν γὰρ τῶν δικαίων (πιστεύω δὲ τῇ ὑμετέρᾳ γνώμῃ) μείναιμι ἂν ἐν τῇ πόλει· εἰ δ' ἀδίκως ἁλοίην, ἀποδραίην ἄν. τίνι γὰρ ἐπαρθέντα ἐλπίδι δεῖ με συμπολιτεύεσθαι, εἰδότα μὲν τῶν ἀντιδίκων τὴν προθυμίαν, ἀποροῦντα δ' ὅθεν χρὴ τῶν δικαίων τινὸς τυχεῖν;

Lysias, *Stratiotes* 319.

54

Election Tactics

πρῶτον μὲν ὃν τρόπον ἐν τοῖς δημόταις συνέβη τὴν διαψήφισιν γενέσθαι, φράσω πρὸς ὑμᾶς. Εὐβουλίδης γὰρ οὗτος, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς ὑμῶν ἴσασι πολλοί, γραψάμενος ἀσεβείας τὴν ἀδελφὴν τοῦ Λακεδαιμονίου τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μετέλαβεν. ὅτε δὴ ἐν ἐκείνῳ τῷ ἀγῶνι τὰ δίκαια, τούτῳ δὲ τἀναντία ἐμαρτύρησα, διὰ ταύτην τὴν ἔχθραν ἐπιτίθεταί μοι. καὶ βουλεύων, ὦ ἄνδρες δικασταί, καὶ κύριος ὢν τοῦ τε ὅρκου καὶ τῶν γραμματείων, ἐξ ὧν ἐκάλει τοὺς δημότας, τί ποιεῖ; πρῶτον μέν, ἐπειδὴ συνελέγησαν οἱ δημόται, κατέτριψε τὴν ἡμέραν δημηγορῶν, καὶ ψηφίσματα γράφων. τοῦτο δ' ἦν οὐκ ἀπὸ τοῦ αὐτομάτου, ἀλλ'

ἐπιβουλεύων ἐμοί, ὅπως ὡς ὀψιαίτατα ἡ διαψήφισις ἡ περὶ ἐμοῦ γένοιτο. καὶ διεπράξατο τοῦτο. καὶ τῶν μὲν δημοτῶν οἱ ὀμόσαντες ἐγενόμεθα τρεῖς καὶ ἑβδομήκοντα. ἠρξάμεθα δὲ τοῦ διαψηφίζεσθαι δείλης ὀψίας, ὥστε συνέβη ἡνίκα τοὐμὸν ὄνομα ἐκάλει, τὸ σκότος ἤδη εἶναι· καὶ γὰρ ἦν περὶ ἑξηκοστόν, καὶ ἐκλήθην ὕστατος ἁπάντων τῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ κληθέντων, ἡνίκα οἱ μὲν πρεσβύτεροι τῶν δημοτῶν ἀπεληλύθεσαν εἰς τοὺς ἀγρούς. τοῦ γὰρ δήμου ἡμῖν, ὦ ἄνδρες δικασταί, πέντε καὶ τριάκοντα στάδια τοῦ ἄστεος ἀπέχοντος, καὶ τῶν πλείστων ἐκεῖ οἰκούντων, ἀπεληλύθεσαν οἱ πολλοί, οἱ δὲ κατάλοιποι ἦσαν οὐ πλείους ἢ τριάκοντα· ἐν δὲ τούτοις ἦσαν ἅπαντες οἱ τούτῳ παρεσκευασμένοι. ἐπειδὴ δὲ ἐκλήθη τὸ ἐμὸν ὄνομα, ἀναπηδήσας οὗτος ἐβλασφήμει κατ᾽ ἐμοῦ ταχὺ καὶ πολλὰ καὶ μεγάλῃ τῇ φωνῇ, ὥσπερ καὶ νῦν, μάρτυρα ὧν κατηγόρησεν οὐδένα παρασχόμενος, οὔτε τῶν δημοτῶν, οὔτε τῶν ἄλλων πολιτῶν· παρεκελεύετο δὲ τοῖς δημόταις ἀποψηφίζεσθαι. ἀξιοῦντος δέ μου εἰς τὴν ὑστεραίαν ἀναβαλέσθαι, διά τε τὴν ὥραν, καὶ τὸ μηδένα μοι παρεῖναι, τό τε πρᾶγμα ἄφνω προσπεπτωκέναι, ἵνα τούτῳ τε ἐξουσία προσγένοιτο ὁπόσα βούλοιτο κατηγορῆσαι, καὶ μάρτυρας, εἴ τινας ἔχοι, παρασχέσθαι, ἐμοί τε ἐκγένοιτο ἀπολογίσασθαι ἐν ἅπασι τοῖς δημόταις, καὶ τοὺς οἰκείους μάρτυρας παρασχέσθαι, καὶ ὅτι γνοίησαν περὶ ἐμοῦ, τούτοις ἤθελον ἐμμένειν· οὗτος ὧν μὲν ἐγὼ προὐκαλούμην, οὐδὲν ἐφρόντισε, τὴν δὲ ψῆφον εὐθυς ἐδίδου τοῖς παροῦσι τῶν δημοτῶν, οὔτε ἀπολογίαν οὐδεμίαν δούς, οὔτ᾽ ἔλεγχον οὐδένα ἀκριβῆ ποιήσας, οἱ δὲ τούτῳ συνεστῶτες, ἀναπηδήσαντες ἐψηφίζοντο. καὶ ἦν μὲν σκότος· οἱ δέ, λαμβάνοντες δύο καὶ τρεῖς ψήφους ἕκαστος παρὰ τούτων ἐνέβαλλον εἰς τὸν καδίσκον. σημεῖον δέ· οἱ μὲν γὰρ ψηφισάμεναι οὐ πλείους ἢ

τριάκοντ᾽ ἦσαν, αἱ δὲ ψῆφοι ἠριθμήθησαν πλείους ἢ ἑξήκοντα, ὥστε πάντας ἡμᾶς ἐκπλαγῆναι. καὶ ταῦτα ὡς ἀληθῆ λέγω, καὶ ὅτι οὔτι ἐδόθη ἡ ψῆφος ἐν ἅπασι, πλείους τε ἐγένοντο τῶν ψηφισαμένων, μάρτυρας ὑμῖν παρέξομαι. συμβαίνει δέ μοι περὶ τούτων, τῶν μὲν φίλων, ἢ τῶν ἄλλων Ἀθηναίων μηδένα μάρτυρα παρεῖναι, διά τε τὴν ὥραν, καὶ διὰ τὸ μηδένα παρακαλέσαι, αὐτοῖς δὲ τοῖς ἠδικηκόσι με χρήσασθαι μάρτυσιν. ἃ οὖν οὐ δυνήσονται ἔξαρνοι γένεσθαι, ταῦτα γέγραφα αὐτοῖς. λέγε.

ΜΑΡΤΥΡΙΑ

εἰ μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, συνέβαινε τοῖς Ἁλιμουσίοις περὶ ἁπάντων τῶν δημοτῶν διαψηφίσασθαι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, εἰκὸς ἦν καὶ εἰς ὀψὲ ψηφίζεσθαι, ἵνα ἀπηλλαγμένοι εἴησαν ποιήσαντες τὰ ἡμῖν ἐψηφισμένα· εἰ δὲ πλείους ἢ εἴκοσιν ὑπόλοιποι ἦσαν τῶν δημοτῶν, περὶ ὧν ἔδει τῇ ὑστεραίᾳ διαψηφίσασθαι, καὶ ὁμοίως ἦν ἀνάγκη συλλέγεσθαι τοὺς δημότας, τί ποτ᾽ ἦν τὸ δυσχερὲς Εὐβουλίδῃ ἀναβαλέσθαι εἰς τὴν ὑστεραίαν, καὶ περὶ ἐμοῦ πρώτου τὴν ψῆφον διδόναι τοῖς δημόταις; διότι, ὦ ἄνδρες δικασταί, οὐκ ἠγνόει Εὐβουλίδης, ὅτι, εἰ λόγος ἀποδοθήσοιτο, καὶ παραγένοιντό μοι πάντες οἱ δημόται, καὶ ἡ ψῆφος δικαίως δοθείη, οὐδαμοῦ γενήσονται οἱ μετὰ τούτου συνεστηκότες.

Demosthenes, *Eubulides* 1301.

55

An Ungrateful Friend

Νικόστρατος *οὑτοσί, ὦ ἄνδρες δικασταί, γείτων μοι ὢν ἐν ἀγρῷ καὶ ἡλικιώτης, γνωρίμως μέν μοι εἶχε καὶ*

πάλαι· ἐπειδὴ δὲ ἐτελεύτησεν ὁ πατήρ, καὶ ἐγὼ ἐν ἀγρῷ κατῴκουν, οὗπερ καὶ νυνὶ οἰκῶ, καὶ μᾶλλον ἀλλήλοις ἤδη ἐχρώμεθα, διὰ τὸ γείτονές τε εἶναι καὶ ἡλικιῶται. χρόνου δὲ προβαίνοντος, καὶ πάνυ οἰκείως διεκείμεθα· καὶ ἐγώ τε οὕτως οἰκείως διεκείμην πρὸς τοῦτον, ὥστε οὐδενὸς πώποτε, ὧν ἐδεήθη οὗτος ἐμοῦ, ἀπέτυχεν, οὗτός τε αὖ ἐμοὶ οὐκ ἄχρηστος ἦν πρὸς τὸ ἐπιμεληθῆναι καὶ διοικῆσαι· καὶ ὁπότε ἐγὼ ἀποδημοίην, ἢ δημοσίᾳ τριηραρχῶν ἢ ἰδίᾳ κατ' ἄλλο τι, κύριον τῶν ἐν ἀγρῷ τοῦτον ἁπάντων κατέλιπον. συμβαίνει δή μοι τριηραρχία περὶ Πελοπόννησον· ἐκεῖθεν δὲ εἰς Σικελίαν ἔδει τοὺς πρέσβεις ἄγειν, οὓς ὁ δῆμος ἐχειροτόνησεν. ἡ οὖν ἀναγωγὴ διὰ ταχέων ἐγίγνετό μοι. ἐπιστέλλω δὴ αὐτῷ ὅτι αὐτὸς μὲν ἀνῆγμαι, καὶ οὐχ οἷός τ' εἴην οἴκαδε ἀφικέσθαι, ἵνα μὴ κατακωλύοιμί τοὺς πρέσβεις· τούτῳ δὲ προσέταξα ἐπιμελεῖσθαί τε τῶν οἴκοι καὶ διοικεῖν, ὥσπερ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ.

ἐν δὲ τῇ ἐμῇ ἀποδημίᾳ ἀποδιδράσκουσιν αὐτὸν οἰκέται τρεῖς ἐξ ἀγροῦ παρὰ τούτου· οἱ μὲν δύο ὧν ἐγὼ ἔδωκα αὐτῷ, ὁ δὲ εἷς ὧν αὐτὸς ἐκτήσατο. διώκων οὖν ἁλίσκεται ὑπὸ τριήρους, καὶ κατήχθη εἰς Αἴγιναν, καὶ ἐκεῖ ἐπράθη. ἐπειδὴ δὲ κατέπλευσα ἐγὼ τριηραρχῶν, προσέρχεταί μοι Δείνων ὁ ἀδελφὸς τούτου, λέγων τήν τε τούτου συμφοράν, αὐτός τε ὅτι δι' ἀπορίαν ἐφοδίων οὐ πεπορευμένος εἴη ἐπὶ τοῦτο, πέμποντος τούτου αὐτῷ ἐπιστολάς, καὶ ἅμα λέγων πρὸς ἡμᾶς, ὡς ἀκούοι αὐτὸν δεινῶς διακεῖσθαι. ἀκούσας δ' ἐγὼ ταῦτα, καὶ συναχθεσθεὶς ἐπὶ τῇ ἀτυχίᾳ τῇ τούτου, πέμπω τὸν Δείνωνα τὸν ἀδελφὸν τούτου εὐθὺς ἐπὶ τοῦτον, δοὺς ἐφόδιον αὐτῷ τριακοσίας δραχμάς. ἀφικόμενος δ' οὗτος, καὶ ἐλθὼν ὡς ἐμέ, πρῶτον μὲν ἠσπάζετο καὶ ἐπῄνει, ὅτι παρέσχον τὰ ἐφόδια τῷ ἀδελφῷ αὐτοῦ, κᾆτ' ὠδύρετο τὴν αὑτοῦ συμφοράν, καί, κατηγορῶν ἅμα τῶν ἑαυτοῦ οἰκείων, ἐδεῖτό μου βοηθῆσαι αὐτῷ, ὥσπερ

καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ἦν περὶ αὐτὸν ἀληθινὸς φίλος· καὶ κλαίων ἅμα, καὶ λέγων ὅτι ἓξ καὶ εἴκοσι μνῶν λελυμένος εἴη, εἰσενεγκεῖν αὐτῷ τι ἐκέλευέ με εἰς τὰ λύτρα. ταῦτα δὲ ἐγὼ ἀκούων, καὶ ἐλεήσας τοῦτον, καὶ ἅμα ὁρῶν κακῶς διακείμενον καὶ ἐπιδεικνύοντα ἕλκη ἐν ταῖς κνήμαις ὑπὸ τῶν δεσμῶν—ὧν ἔτι τὰς οὐλὰς ἔχει, καὶ ἐὰν κελεύσητε αὐτὸν δεῖξαι, οὐ μὴ ἐθελήσῃ,—ἀπεκρινάμην αὐτῷ, ὅτι καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ εἴην αὐτῷ φίλος ἀληθινός, καὶ νῦν ἐν τῇ συμφορᾷ βοηθήσαιμι αὐτῷ· καὶ τάς τε τριακοσίας, ἃς τῷ ἀδελφῷ αὐτοῦ ἔδωκε ἐφόδια, ὅτε ἐπορεύετο ἐπὶ τοῦτον, ἀφείην αὐτῷ, χιλίας τε δραχμὰς ἔρανον αὐτῷ εἰς τὰ λύτρα εἰσοίσοιμι. καὶ τοῦτο οὐ λόγῳ μὲν ὑπεσχόμην, ἔργῳ δὲ οὐκ ἐποίησα· ἀλλ', ἐπειδὴ οὐκ εὐπόρουν ἀργυρίου, διὰ τὸ διαφόρως ἔχειν τῷ Φορμίωνι, καὶ ἀποστερεῖσθαι ὑπ' αὐτοῦ τὴν οὐσίαν ἥν μοι ὁ πατὴρ κατέλιπε, κομίσας ὡς Θεοκλέα, τὸν τότε τραπεζιτεύοντα, ἐκπώματα καὶ στέφανον χρυσοῦν, ἃ παρ' ἐμοὶ ἐκ τῶν πατρῴων ὄντα ἐτύγχανεν, ἐκέλευσα δοῦναι τούτῳ χιλίας δραχμάς· καὶ τοῦτο ἔδωκα δωρεὰν αὐτῷ τὸ ἀργύριον, καὶ ὁμολογῶ δεδωκέναι.

ἡμέραις δὲ οὐ πολλαῖς ὕστερον προσελθών μοι κλαίων, ἔλεγεν, ὅτι οἱ ξένοι ἀπαιτοῖεν αὐτόν, οἱ δανείσαντες τὰ λύτρα, τὸ λοιπὸν ἀργύριον· καὶ ἐν ταῖς συγγραφαῖς εἴη, τριάκονθ' ἡμερῶν αὐτὸν ἀποδοῦναι, ἢ διπλάσιον ὀφείλειν· καὶ ὅτι τὸ χωρίον, τὸ ἐν γειτόνων μοι τοῦτο, οὐδεὶς ἐθέλοι οὔτε πρίασθαι οὔτε τίθεσθαι, ὁ γὰρ ἀδελφός, ὁ Ἀρεθούσιος, οὗ τἀνδράποδ' ἐστι ταῦτα, ἃ νῦν ἀπογέγραπται, οὐδένα ἐῴη οὔτε ὠνεῖσθαι οὔτε τίθεσθαι, ὡς ἐνοφειλομένου αὐτῷ ἀργυρίου. σὺ οὖν μοι, ἔφη, πόρισον τὸ ἐλλεῖπον τοῦ ἀργυρίου πρὶν τὰς τριάκονθ' ἡμέρας παρελθεῖν, ἵνα μὴ ὅ τε ἀποδέδωκα, ἔφη, τὰς χιλίας δραχμάς, ἀπόληται, καὶ αὐτὸς ἀγώγιμος γένωμαι. συλλέξας δ', ἔφη, τὸν ἔρανον, ἐπειδὰν τοὺς

ξένους ἀπαλλάξω, σοὶ ἀποδώσω, ὃ ἄν μοι χρήσῃς· οἶσθα δ', ἔφη, ὅτι καὶ οἱ νόμοι κελεύουσι, τοῦ λυσαμένου ἐκ τῶν πολεμίων εἶναι τὸν λυθέντα, ἐὰν μὴ ἀποδιδῷ τὰ λύτρα. ἀκούων δ' αὐτοῦ ταῦτα καὶ δοκῶν οὐ ψεύδεσθαι, ἀπεκρινάμην αὐτῷ, ἅπερ ἂν νέος τε ἄνθρωπος καὶ οἰκείως χρώμενος, οὐκ ἂν νομίσας ἀδικηθῆναι, ὅτι, ὦ Νικόστρατε, καὶ ἐν τῷ πρὸ τούτου σοι χρόνῳ φίλος ἦν ἀληθινός, καὶ ἐν ταῖς συμφοραῖς σοι, καθ' ὅσον ἐγὼ ἐδυνάμην, βεβοήθηκα· ἐπειδὴ δὲ ἐν τῷ παρόντι οὐ δύνασαι πορίσαι ἅπαντα τὰ χρήματα, ἀργύριον μὲν ἐμοὶ οὐ πάρεστιν, οὐδ' ἔχω οὐδ' αὐτός, τῶν δὲ κτημάτων σοι τῶν ἐμῶν κίχρημι, ὅ τι βούλει, θέντα τοῦ ἐπιλοίπου ἀργυρίου ὅσον ἐνδεῖ σοι, ἐνιαυτὸν ἀτόκως χρῆσθαι τῷ ἀργυρίῳ, καὶ ἀποδοῦναι τοῖς ξένοις· συλλέξας δὲ ἔρανον, ὥσπερ αὐτὸς φῄς, λῦσαί μοι. ἀκούσας δ' οὗτος ταῦτα καὶ ἐπαινέσας με, ἐκέλευσε τὴν ταχίστην πρᾶξαι, πρὶν ἐξήκειν τὰς ἡμέρας, ἐν αἷς ἔφη δεῖν τὰ λύτρα καταθεῖναι. τίθημι οὖν τὴν συνοικίαν ἑκκαίδεκα μνῶν Ἀρκέσαντι Παμβωτάδῃ, ὃν αὐτὸς οὗτος προὐξένησεν, ἐπὶ ὀκτὼ ὀβολοῖς τὴν μνᾶν δανείσαντι τοῦ μηνὸς ἑκάστου.

λαβὼν δὲ τὸ ἀργύριον, οὐχ ὅπως χάριν τινά μοι ἀποδίδωσιν, ὧν εὖ ἔπαθεν, ἀλλ' εὐθέως ἐπεβούλευσέ μοι, ἵν' ἀποστερήσειε τὸ ἀργύριον καὶ εἰς ἔχθραν κατασταίη· καὶ ἀπορούμενος ἐγὼ τοῖς πράγμασι νέος ὢν ὅ τι χρησαίμην καὶ ἄπειρος πραγμάτων, ὅπως μὴ εἰσπράττοιμι αὐτὸν τἀργύριον, οὗ ἡ συνοικία ἐτέθη, ἀλλ' ἀφείην αὐτῷ. πρῶτον μὲν οὖν ἐπιβουλεύει μοι μετὰ τῶν ἀντιδίκων, καὶ πίστιν αὐτοῖς δίδωσιν. ἔπειτα ἀγώνων μοι συνεστηκότων πρὸς αὐτούς, τούς τε λόγους ἐκφέρει μου, εἰδώς, καὶ ἐγγράφει τῷ δημοσίῳ ἀπρόσκλητον ἐξ ἐμφανῶν καταστάσεως ἐπιβολὴν ἑξακοσίας καὶ δέκα δραχμάς, διὰ Λυκίδου τοῦ μυλωθροῦ ποιησάμενος τὴν δίκην. κλητῆρα δὲ κατ' ἐμοῦ τόν τε ἀδελφὸν

τὸν αὑτοῦ Ἀρεθούσιον τοῦτον ἐπιγράφεται, οὗπέρ ἐστι τὰ ἀνδράποδα ταῦτα, καὶ ἄλλον τινά. καὶ παρεσκευάζοντο, εἰ ἀνακρινοίμην κατὰ τῶν οἰκείων τῶν ἀδικούντων με τὰς δίκας, ἃς εἰλήχειν αὐτοῖς, ἐνδεικνύναι με καὶ ἐμβάλλειν εἰς τὸ δεσμωτήριον. ἔτι δὲ πρὸς τούτοις, ὁ Ἀρεθούσιος, ἀπρόσκλητόν μου δέκα δραχμῶν δίκην καταδικασάμενος, ὡς ὀφείλοντα τῷ δημοσίῳ, κλητῆρας ἐπιγραψάμενος, καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν βίᾳ, τὰ σκεύη πάντα ἐξεφόρησε, πλεῖον ἢ εἴκοσι μνῶν ἄξια, καὶ οὐδ᾽ ὁτιοῦν κατέλιπεν. ὅτε δὲ τιμωρεῖσθαι ᾤμην δεῖν, καὶ ἐκτίσας τῷ δημοσίῳ τὸ ὄφλημα, ἐπειδὴ ἐπυθόμην τὴν ἐπιβουλήν, ἐβάδιζον ἐπὶ τὸν κλητῆρα τὸν ὁμολογοῦντα κεκλητευκέναι τὸν Ἀρεθούσιον τῆς ψευδοκλητείας κατὰ τὸν νόμον, ἐλθὼν εἰς τὸ χωρίον τῆς νυκτός, ὅσα ἐνῆν φυτὰ ἀκροδρύων γενναῖα ἐμβεβλημένα καὶ τὰς ἀναδενδράδας ἐξέκοψε, καὶ φυτευτήρια ἐλαιῶν περιστοίχων κατέκλασεν οὕτω δεινῶς, ὡς οὐδ᾽ ἂν οἱ πολέμιοι διαθεῖεν. πρὸς δὲ τούτοις, μεθ᾽ ἡμέραν παιδάριον ἀστὸν εἰσπέμψαντες διὰ τὸ γείτονές τε εἶναι καὶ ὅμορον τὸ χωρίον, ἐκέλευον τὴν ῥοδωνιὰν βλαστάνουσαν ἐκτίλλειν, ἵν᾽, εἰ καταλαβὼν αὐτὸν ἐγὼ δήσαιμι ἢ πατάξαιμι ὡς δοῦλον ὄντα, γραφήν με γράψαιντο ὕβρεως. ὡς δὲ τούτου διήμαρτον, κἀγὼ μάρτυρας μὲν ὧν ἔπασχον ἐποιούμην, αὐτὸς δὲ οὐδὲν ἐξημάρτανον εἰς αὐτούς, ἐνταῦθ᾽ ἤδη μοι ἐπιβουλεύουσι τὴν μεγίστην ἐπιβουλήν. ἀνακεκριμένου γὰρ ἤδη μου κατ᾽ αὐτοῦ τὴν τῆς ψευδοκλητείας γραφήν, καὶ μέλλοντος εἰσιέναι εἰς τὸ δικαστήριον, τηρήσας με ἀπιόντα ἐκ Πειραιῶς ὀψὲ περὶ τὰς λιθοτομίας, παίει τε πὺξ καὶ ἁρπάζει μέσον, καὶ ὠθεῖ με εἰς τὰς λιθοτομίας, εἰ μή τινες προσιόντες, βοῶντός μου ἀκούσαντες, παρεγένοντο καὶ ἐβοήθησαν. ἡμέραις δὲ οὐ πολλαῖς ὕστερον, εἰσελθὼν εἰς τὸ δικαστήριον πρὸς ἡμέραν διαμεμετρημένην, καὶ ἐξελέγξας αὐτὸν τὰ ψευδῆ κεκλητευκότα καὶ τὰ ἄλλα ὅσα εἴρηκα

ἠδικηκότα, εἷλον. καὶ ἐν τῇ τιμήσει βουλομένων τῶν δικαστῶν θανάτου τιμῆσαι αὐτῷ ἐδεήθην ἐγὼ τῶν δικαστῶν μηδὲν δι' ἐμοῦ τοιοῦτον πρᾶξαι, ἀλλὰ συγχωρῆσαι ὅσουπερ αὐτοὶ ἐτιμῶντο ταλάντου. οὐχ, ἵνα μὴ ἀποθάνῃ ὁ Ἀρεθούσιος—ἄξια γὰρ αὐτῷ θανάτου εἴργαστο εἰς ἐμέ,—ἀλλ', ἵνα ἐγώ, Πασίωνος ὤν, καὶ κατὰ ψήφισμα πολίτης, μηδένα Ἀθηναίων ἀπεκτονὼς εἴην. ὡς δ' ἀληθῆ εἴρηκα πρὸς ὑμᾶς, τούτων ὑμῖν πάντων τοὺς μάρτυρας παρέξομαι.

Demosthenes, *Nicostratos* 1247.

56

A Disputed Succession

ἦν γάρ, ὦ ἄνδρες δικασταί, Κόνων Ἁλαιεύς, οἰκεῖος ἡμέτερος. οὗτος ὁ Κόνων ἐτελεύτησεν ἄπαις ὀλίγον πάνυ χρόνον ἀρρωστήσας· ἐβίω δὲ πολλὰ ἔτη, καὶ ἦν πρεσβύτερος ὅτε ἐτελεύτα. καὶ ἐγὼ ὡς ᾐσθόμην, ὅτι οὐχ οἷός τε ἔσται περιγενέσθαι, μετεπεμψάμην τουτονὶ Ὀλυμπιόδωρον, ὅπως ἂν παρῇ καὶ συνεπιμελῆται μεθ' ἡμῶν ἁπάντων ὧν προσῆκε· καὶ Ὀλυμπιόδωρος οὑτοσί, ὦ ἄνδρες δικασταί, ἐπειδὴ ἦλθεν ὡς ἐμὲ καὶ τὴν ἀδελφὴν τὴν ἑαυτοῦ, ἐμὴν δὲ γυναῖκα, μεθ' ἡμῶν ἅπαντα διῴκει. ὄντων δ' ἡμῶν περὶ ταύτην τὴν πραγματείαν, ἐξαίφνης λόγον μοι προσφέρει Ὀλυμπιόδωρος οὑτοσί, ὅτι καὶ ἡ μήτηρ αὐτοῦ προσήκουσα εἴη τῷ Κόνωνι τῷ τετελευτηκότι καὶ ὅτι δίκαιον εἴη καὶ αὐτὸν τὸ μέρος λαβεῖν ἁπάντων ὧν ὁ Κόνων κατέλιπεν. ἐγὼ δέ, ὦ ἄνδρες δικασταί, συνειδὼς ὅτι ἐψεύδετο καὶ ἀναισχυντεῖν ἐπεχείρει, καὶ ὅτι οὐδεὶς ἦν ἄλλος τῷ Κόνωνι γένει ἐγγυτέρω ἐμοῦ, τὸ μὲν πρῶτον ὡς οἷόν τε μάλιστα ὠργίσθην καὶ ἠγανάκτησα ἐπὶ τῇ ἀναισχυντίᾳ τοῦ λόγου· ἔπειτα δ' ἐλογισάμην

πρὸς ἐμαυτόν, ὅτι οὐκ ἐν καιρῷ ὀργιζοίμην, καὶ τούτῳ ἀπεκρινάμην, ὅτι ἐν μὲν τῷ παρόντι προσήκει θάπτειν τὸν τετελευτηκότα καὶ τἆλλα ποιεῖν τὰ νομιζόμενα, ἐπειδὰν δὲ τούτων ἁπάντων ἐπιμεληθῶμεν, τόθ' ἡμῖν αὐτοῖς διαλεξόμεθα. καὶ αὐτός, ὦ ἄνδρες δικασταί, προσωμολόγησε ταῦτα, καὶ καλῶς μ' ἔφη λέγειν· ἐπειδὴ δ' ἀπηλλάγημεν καὶ ἐποιήσαμεν ἅπαντα τὰ νομιζόμενα, καθ' ἡσυχίαν ἤδη παρακαλέσαντες ἅπαντας τοὺς οἰκείους διελεγόμεθα ἡμῖν αὐτοῖς περὶ ὧν οὗτος ἠξίου ἑαυτῷ εἶναι. ὅσα μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἡμεῖς πρὸς ἡμᾶς αὐτοὺς διηνέχθημεν περὶ τούτων διαλεγόμενοι, τί ἂν ἐγώ, ταῦτα διηγούμενος, ἢ ὑμῖν πράγματα παρέχοιμι, ἢ ἐμαυτῷ ἐνοχλοίην; τὸ δὲ τέλος ὃ ἐγένετο, τοῦτο ὑμᾶς ἀναγκαίως ἔχει ἀκοῦσαι. αὐτὸς γὰρ ἐγὼ ἐδίκασα τούτῳ, καὶ οὗτος ἐμοί, τὰ ἡμίσεα ἑκάτερον ἡμῶν λαβεῖν, ὧν κατέλιπε Κόνων, καὶ μηδεμίαν ἀηδίαν εἶναι περαιτέρω. καὶ προειλόμην, ὦ ἄνδρες δικασταί, ἑκὼν μεταδοῦναι τούτῳ μᾶλλον ἢ εἰς δικαστήριον εἰσιὼν κινδυνεύειν πρὸς οἰκεῖον ὄντα τοῦτον καὶ εἰπεῖν τι ἀηδές, ἀδελφὸν ὄντα τῆς ἐμῆς γυναικὸς καὶ θεῖον τῶν ἐμῶν παίδων, καὶ ὑπὸ τούτου ἀκοῦσαί τι ἀνεπιτήδειον. ταῦτα πάντα ἐνθυμούμενος, συνεχώρησα αὐτῷ· καὶ μετὰ ταῦτα συνθήκας ἐγράψαμεν πρὸς ἡμᾶς αὐτοὺς περὶ ἁπάντων, καὶ ὅρκους ἰσχυροὺς ὠμόσαμεν ἀλλήλοις, ἦ μὴν τά τε ὑπάρχοντα φανερὰ ὄντα καλῶς καὶ δικαίως διαιρήσεσθαι, καὶ μηδ' ὁτιοῦν πλεονεκτήσειν τὸν ἕτερον τοῦ ἑτέρου ὧν κατέλιπε Κόνων, καὶ τἆλλα πάντα κοινῇ ζητήσειν καὶ πράξειν, μετ' ἀλλήλων βουλευόμενοι ὅ τι ἂν ἀεὶ δέῃ. ὑπενοοῦμεν γάρ, ὦ ἄνδρες δικασταί, ἥξειν τινὰς ἀμφισβητήσοντας τῶν τοῦ Κόνωνος καὶ ἑτέρους, οἷον καὶ ὁ ἐμὸς ἀδελφὸς ὁμοπάτριος μέν, ὁμομήτριος δ' οὔ, ὃς ἀπεδήμει, καὶ εἰ δή τις ἄλλος ἠβούλετ' ἀμφισβητεῖν, οὐκ ἐνῆν ἡμῖν κωλύειν· οἱ γὰρ νόμοι κελεύουσι τὸν βουλόμενον

ἀμφισβητεῖν. ταῦτα δὴ πάντα προνοούμενοι, ἐγράψαμεν τὰς συνθήκας καὶ ὅρκους ὠμόσαμεν, ὅπως μήτε ἑκόντι μήτι ἄκοντι μηδετέρῳ ἐξουσία ἡμῶν γένηται μηδ' ὁτιοῦν ἰδίᾳ πρᾶξαι ἀλλὰ κοινῇ βουλευόμενοι μεθ' ἡμῶν αὐτῶν ἅπαντα πράττωμεν· καὶ μάρτυρας ἐποιησάμεθα περὶ τούτων, πρῶτον μὲν τοὺς θεούς, οὓς ὠμόσαμεν ἀλλήλοις, καὶ τοὺς οἰκείους τοὺς ἡμετέρους αὐτῶν, ἔπειτ' Ἀνδροκλείδην Ἀχαρνέα παρ' ᾧ κατεθέμεθα τὰς συνθήκας. βούλομαι οὖν, ὦ ἄνδρες δικασταί, τόν τε νόμον ἀναγνῶναι, καθ' ὃν τὰς συνθήκας ἐγράψαμεν πρὸς ἡμᾶς αὐτούς, καὶ μαρτυρίαν τοῦ ἔχοντος τὰς συνθήκας. λέγε τὸν νόμον πρῶτον.

ΝΟΜΟΣ

ἀναγίγνωσκε δὴ καὶ τὴν μαρτυρίαν τὴν Ἀνδροκλείδου.

ΜΑΡΤΥΡΙΑ

ἐπειδὴ δὲ ὠμόσαμεν ἀλλήλοις καὶ αἱ συνθῆκαι ἦσαν κείμεναι παρὰ τῷ Ἀνδροκλείδῃ, διεῖλον ἐγὼ δύο μερίδας, ὦ ἄνδρες δικασταί. καὶ ἡ μὲν ἑτέρα ἦν μερίς, ἡ οἰκία ἐν ᾗ ᾤκει αὐτὸς ὁ Κόνων, καὶ τἀνδράποδα οἱ σακχυφάνται· ἡ δ' ἑτέρα ἦν μερὶς οἰκία ἑτέρα καὶ τἀνδράποδα οἱ φαρμακοτρίβαι. ἀργύριον δὲ εἴ τι κατέλιπεν ὁ Κόνων φανερὸν ἐπὶ τῇ τραπέζῃ τοῦ Ἡρακλείδου, τοῦτο ἅπαν σχεδόν τι ἀνηλώθη εἴς τε τὴν ταφὴν καὶ τὰ ἄλλα τὰ νομιζόμενα καὶ εἰς τὴν οἰκοδομίαν τοῦ μνήματος. διελὼν δ' ἐγὼ τὰς δύο ταύτας μερίδας, ἔδωκα αἵρεσιν τούτῳ Ὀλυμπιοδώρῳ ὁποτέραν βούλεται τῶν μερίδων λαβεῖν· καὶ οὗτος εἵλετο τοὺς φαρμακοτρίβας καὶ τὴν οἰκίαν, ἐγὼ δ' ἔλαβον τοὺς σακχυφάντας καὶ τὴν οἰκίαν τὴν ἑτέραν· καὶ ταῦτά ἐστιν, ἃ ἑκάτερος ἡμῶν εἶχεν. ἐν δὲ τῇ μερίδι τῇ τουτουὶ Ὀλυμπιοδώρου ἦν εἷς τῶν φαρμακοτριβῶν, ὃν μάλιστα ἐνόμιζε πιστὸν ἑαυτῷ εἶναι ὁ Κόνων·

ὄνομα δὲ τῷ ἀνθρώπῳ ἐστὶ Μοσχίων. οὗτος ὁ οἰκέτης σχεδόν τι ᾔδει τά τε ἄλλα τοῦ Κόνωνος ἅπαντα, καὶ δὴ καὶ τὸ ἀργύριον οὗ ἦν τὸ ἔνδον κείμενον τῷ Κόνωνι· καὶ δὴ ἔλαθε τὸν Κόνωνα, πρεσβύτερόν τε ὄντα καὶ πεπιστευκότα αὐτῷ, ὑφαιρούμενος τὸ ἀργύριον οὗτος ὁ οἰκέτης ὁ Μοσχίων. καὶ πρῶτον μὲν ὑφαιρεῖται αὐτοῦ χιλίας δραχμὰς χωρίς που κειμένας τοῦ ἄλλου ἀργυρίου, ἔπειτα ἑτέρας ἑβδομήκοντα μνᾶς· καὶ ταῦτα ποιῶν ἐλάνθανε τὸν Κόνωνα· καὶ τὸ ἀργύριον τοῦτο ἅπαν εἶχεν αὐτὸς δι' ἑαυτοῦ ὁ ἄνθρωπος. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον, ὦ ἄνδρες δικασταί, ᾗ ἡμεῖς διειλόμεθα τὰς μερίδας, ὑποψία τις ἐγένετο καὶ αἴσθησις περὶ τἀνθρώπου τούτου. ἐκ δὲ ταύτης τῆς ὑποψίας ἐδόκει ἐμοὶ καὶ τούτῳ Ὀλυμπιοδώρῳ βασανίζειν τὸν ἄνθρωπον, καὶ ὁ ἄνθρωπος, ὦ ἄνδρες δικασταί, αὐτὸς αὑτοῦ κατεῖπε πρὶν βασανίζεσθαι, ὅτι χιλίας δραχμὰς ὑφείλετο τοῦ Κόνωνος, καὶ ἔφη εἶναι παρ' ἑαυτῷ ὅσον μὴ ἦν ἀνηλωμένον· περὶ δὲ τοῦ πλείονος ἀργυρίου οὐδ' ὁτιοῦν εἶπεν ἐν τῷ τότε χρόνῳ. καὶ ἀποδίδωσι περὶ ἑξακοσίας τινὰς δραχμάς· καὶ τούτου τοῦ ἀργυρίου, οὗ ἀπέδωκεν ὁ ἄνθρωπος, καλῶς καὶ δικαίως, κατὰ τοὺς ὅρκους οὓς ὠμόσαμεν ἡμεῖς καὶ κατὰ τὰς συνθήκας τὰς κειμένας παρὰ τῷ Ἀνδροκλείδῃ, τὸ μὲν ἥμισυ ἐγὼ ἔλαβον τὸ δ' ἥμισυ οὑτοσὶ Ὀλυμπιόδωρος.

μετὰ δὲ ταῦτ' οὐ πολλῷ χρόνῳ ὕστερον ἐκ ταύτης τῆς ὑποψίας τῆς πρὸς τὸν οἰκέτην περὶ τοῦ ἀργυρίου, οὗ ἀπέδωκεν, ἔδησε τὸν ἄνθρωπον καὶ ἐβασάνισεν αὐτὸς ἐφ' ἑαυτοῦ· ἡμᾶς δὲ οὐ παρεκάλεσεν, ὀμωμοκὼς κοινῇ ζητήσειν καὶ πράξειν μετ' ἐμοῦ πάντα. καὶ ὁ ἄνθρωπος, ὦ ἄνδρες δικασταί, κατατεινόμενος ὑπὸ τῆς βασάνου, προσωμολόγησε καὶ τὰς ἑβδομήκοντα μνᾶς εἰληφέναι, Κόνωνος ὑφελόμενος· καὶ ἀποδίδωσιν ἅπαν τὸ ἀργύριον τοῦτο Ὀλυμπιοδώρῳ τούτῳ. ἐγὼ δ', ὦ

ἄνδρες δικασταί, ἐπειδὴ ἐπυθόμην περὶ τῆς βασάνου τἀνθρώπου, καὶ ὅτι ἀποδεδωκὼς εἴη τὸ ἀργύριον, ἐνόμιζόν μοι ἀποδώσειν τοῦτον τὸ ἥμισυ τοῦ ἀργυρίου, ὥσπερ καὶ τὸ πρότερον ἀπὸ τῶν χιλίων δραχμῶν ἀποδέδωκε. καὶ εὐθὺς μὲν οὐ πάνυ τε ἠνώχλουν τούτῳ, ἡγούμενος αὐτὸν τοῦτο γνώσεσθαι καὶ διοικήσειν καὶ ἐμοὶ καὶ ἑαυτῷ, ὅπως ἑκάτερος ἡμῶν ἕξει τὰ δίκαια κατὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας τὰς πρὸς ἡμᾶς αὐτοὺς περὶ τοῦ ἰσομοιρεῖν ἁπάντων, ὧν Κόνων ἦν καταλελοιπώς· ἐπειδὴ δ' ἐνδιέτριβε καὶ οὐδὲν ἐποίει, διελεγόμην τούτῳ Ὀλυμπιοδώρῳ καὶ ἠξίουν ἀπολαμβάνειν τὸ ἐμαυτοῦ μέρος τοῦ ἀργυρίου, οὑτοσὶ δ' Ὀλυμπιόδωρος ἀεί τι προὐφασίζετο καὶ ἀναβολὰς ἐποιεῖτο.

καὶ ἐν τούτῳ τῷ καιρῷ ἕτεροί τινες ἔλαχον τοῦ κλήρου τοῦ Κόνωνος, καὶ ὁ Κάλλιππος ἐπεδήμησεν ἐκ τῆς ἀποδημίας, ὁ ἐμὸς ἀδελφὸς ὁμοπάτριος, καὶ οὗτος ἔλαχεν εὐθὺς τοῦ ἡμικληρίου· καὶ τούτῳ Ὀλυμπιοδώρῳ πρόφασις αὕτη ἐγένετο πρὸς τὸ μὴ ἀποδιδόναι μοι τὸ ἀργύριον, ἐπειδὴ πολλοὶ ἦσαν οἱ ἀμφισβητοῦντες. καὶ ἔφη χρῆναί με περιμένειν, ἕως ἂν οἱ ἀγῶνες γένωνται· καὶ ἐμοὶ ἀνάγκη ἦν ταῦτα συγχωρεῖν, καὶ συνεχώρησα. μετὰ δὲ ταῦτα ἐγὼ καὶ οὑτοσὶ Ὀλυμπιόδωρος ἐβουλευόμεθα κοινῇ, ὥσπερ καὶ ὠμόσαμεν, ὅν τινα τρόπον ἄριστα καὶ ἀσφαλέστατα προσοισόμεθα πρὸς τοὺς ἀμφισβητοῦντας. καὶ ἔδοξεν ἡμῖν, ὦ ἄνδρες δικασταί, τουτονὶ μὲν Ὀλυμπιόδωρον τοῦ κλήρου ὅλου ἀμφισβητεῖν, ἐμὲ δὲ τοῦ ἡμικληρίου· ἐπειδὴ καὶ Κάλλιππος ὁ ἀδελφὸς ὁ ἐμὸς τοῦ ἡμικληρίου μόνον ἠμφισβήτει. καὶ ἐπειδὴ ἀνεκρίθησαν πρὸς τῷ ἄρχοντι ἅπασαι αἱ ἀμφισβητήσεις, καὶ ἔδει ἀγωνίζεσθαι ἐν τῷ δικαστηρίῳ, ἀπαράσκευοι ἦμεν τὸ παράπαν πρὸς τὸ ἤδη ἀγωνίζεσθαι, ἐγὼ καὶ Ὀλυμπιόδωρος οὑτοσί, διὰ τὸ ἐξαίφνης ἐπιπεπτωκέναι ἡμῖν πολλοὺς τοὺς ἀμφισβητοῦντας· ἐκ δὲ τῶν ὑπαρχόντων ἐσκοποῦμεν

κοινῇ, εἴ πως ἀναβολή τις γένοιτο ἐν τῷ παρόντι, ὥστε παρασκευάσασθαι ἡμᾶς καθ᾽ ἡσυχίαν πρὸς τὸν ἀγῶνα. καὶ κατὰ τύχην τινὰ καὶ δαίμονα ὑμεῖς ἐπείσθητε ὑπὸ τῶν ῥητόρων, εἰς Ἀκαρνανίαν στρατιώτας ἐκπέμπειν, καὶ ἔδει καὶ τουτονὶ Ὀλυμπιόδωρον δημοσίᾳ ἀπεῖναι στρατευόμενον. ὑπομοθέντος δὲ τούτου, ἀνθυπωμόσαντο οἱ ἀντίδικοι, καὶ διαβάλλοντες Ὀλυμπιόδωρον τουτονί, ὕστερον ἡμῶν λέγοντες, ἔπεισαν τοὺς δικαστὰς ψηφίσασθαι, τῆς δίκης ἕνεκα ἀπεῖναι τουτονὶ καὶ οὐ δημοσίᾳ. ψηφισαμένων δὲ ταῦτα τῶν δικαστῶν, διέγραψε ὁ ἄρχων Πυθόδωρος κατὰ τὸν νόμον τὴν τουτουὶ Ὀλυμπιοδώρου ἀμφισβήτησιν· διαγραφείσης δὲ ταύτης, ἐξ ἀνάγκης καὶ ἐμοὶ ἦν ἐκλιπεῖν τὴν τοῦ ἡμικληρίου ἀμφισβήτησιν. γενομένων δὲ τούτων, ἐπεδίκασεν ὁ ἄρχων τοῖς ἀντιδίκοις τοῖς ἡμετέροις τὸν κλῆρον τὸν Κόνωνος· ταῦτα γὰρ οἱ νόμοι αὐτὸν ἠνάγκαζον ποιεῖν. ἐπειδὴ δ᾽ ἐπεδικάσαντο, εὐθὺς εἰς Πειραιᾶ ἐλθόντες, παρελάμβανον πάνθ᾽ ὅσα ἡμῶν εἶχεν ἑκάτερος, νειμάμενος ἐν τῇ μερίδι. κἀγὼ μὲν ἐπιδημῶν αὐτὸς παρέδωκα, ἀνάγκη γὰρ ἦν πείθεσθαι τοῖς νόμοις· τὰ δὲ Ὀλυμπιοδώρου, ἀποδημοῦντος τούτου, ἅπαντα ᾤχοντο λαβόντες πλὴν τοῦ ἀργυρίου, οὗ εἶχεν αὐτὸς παρὰ τοῦ ἀνθρώπου τοῦ οἰκέτου ὃν ἐβασάνισεν, οὐ γὰρ εἶχον ὅπου λαμβάνοιντο τοῦ ἀργυρίου. καὶ τὰ μὲν πραχθέντα ταῦτ᾽ ἦν ἐν τῇ ἀποδημίᾳ τῇ Ὀλυμπιοδώρου, καὶ τῆς κοινωνίας τῆς πρὸς τοῦτον ταῦτ᾽ ἐγὼ ἀπέλαυσα. ἐπειδὴ δ᾽ ἐπεδήμησεν οὗτος καὶ οἱ ἄλλοι στρατιῶται, ἠγανάκτει Ὀλυμπιόδωρος οὑτοσί, ὦ ἄνδρες δικασταί, ἐπὶ τοῖς συμβεβηκόσι, καὶ ἡγεῖτο δεινὰ πεπονθέναι.

ἐπειδὴ δὲ μεστὸς ἐγένετο ἀγανακτῶν, ἐσκοποῦμεν πάλιν καὶ ἐβουλευόμεθα κοινῇ, ἐγὼ καὶ Ὀλυμπιόδωρος οὑτοσί, ὅν τινα τρόπον τούτων τι πάλιν κομιούμεθα· καὶ ἐδόκει ἡμῖν βουλευομένοις, προσκαλεῖσθαι τοὺς ἐπιδεδικασμένους κατὰ τὸν νόμον, καὶ ἐκ τῶν ὑπαρ-

χόντων ἀσφαλέστατον εἶναι μὴ ἐν τῷ αὐτῷ ἡμᾶς ἀμφοτέρους τὸν κίνδυνον ποιεῖσθαι πρὸς τοὺς ἀμφισβητοῦντας, ἀλλὰ χωρὶς ἑκάτερον· καὶ τοῦτον μὲν Ὀλυμπιόδωρον ὅλου τοῦ κλήρου λαχεῖν, ὥσπερ τὸ πρότερον, καὶ ἀγωνίζεσθαι καθ᾽ αὑτόν· ἐμὲ δὲ τοῦ ἡμικληρίου, ἐπειδὴ καὶ Κάλλιππος ὁ ἀδελφὸς ὁ ἐμὸς τοῦ ἡμικληρίου μόνον ἠμφισβήτει. ὅπως, ἐὰν μὲν οὑτοσὶ Ὀλυμπιόδωρος ἐπιτύχῃ τοῦ ἀγῶνος, ἐγὼ κατὰ τὰς συνθήκας καὶ τοὺς ὅρκους πάλιν τὸ μέρος λάβοιμι παρὰ τούτου· ἐὰν δ᾽ ἄρ᾽ ἀποτύχῃ, καὶ τὰ ἕτερα ψηφίσωνται οἱ δικασταί, οὗτος παρ᾽ ἐμοῦ τὰ μέρη καλῶς καὶ δικαίως ἀπολαμβάνοι, ὥσπερ ὠμόσαμεν ἀλλήλοις καὶ συνεθέμεθα. ἐπειδὴ δὲ ταῦτ᾽ ἐβουλευσάμεθα, καὶ ἐδόκει ἀσφαλέστατ᾽ εἶναι καὶ ἐμοὶ καὶ Ὀλυμπιοδώρῳ, προσεκλήθησαν ἅπαντες οἱ ἔχοντες τὰ τοῦ Κόνωνος κατὰ τὸν νόμον. καί μοι ἀνάγνωθι τὸν νόμον, καθ᾽ ὃν ἡ πρόσκλησις ἐγένετο.

Demosthenes, *Olympiodorus* 1168.

57

Rough Hospitality

Ἄρχιππος οὗτος, ὦ Ἀθηναῖοι, ἀπεδύσατο μὲν εἰς τὴν αὐτὴν παλαίστραν, οὗπερ καὶ Τῖσις ὁ φεύγων τὴν δίκην. ὀργῆς δὲ γενομένης, ἐς σκώμματά τε αὐτοῖς καὶ ἀντιλογίαν καὶ ἔχθραν καὶ λοιδορίαν κατέστησαν. ἔστιν οὖν Πυθέας ἐπίτροπος τοῦ μειρακίου ὑπὸ τοῦ πατρὸς καταλελειμμένος. οὗτος, ἐπειδὴ Τῖσις πρὸς αὐτὸν τὴν ἐν τῇ παλαίστρᾳ λοιδορίαν διηγήσατο, βουλόμενος χαρίζεσθαι καὶ δοκεῖν δεινὸς καὶ ἐπίβουλος εἶναι, ἐκέλευσεν αὐτόν, ὡς ἡμεῖς ἔκ τε τῶν πεπραγμένων ᾐσθήμεθα καὶ τῶν εὖ εἰδότων ἐπυθόμεθα, ἐν μὲν τῷ παρόντι διαλλαγῆναι, σκοπεῖν δὲ ὅπως αὐτὸν

μόνον που λήψεται. πεισθεὶς δὲ ταῦτα καὶ ἀπαλλαγεὶς καὶ χρώμενος καὶ προσποιούμενος ἐπιτήδειος εἶναι, εἰς τοῦτο μανίας τηλικοῦτος ὢν ἀφίσταται, ὥστ᾽ ἐτύγχανε μὲν οὖσα ἱπποδρομία Ἀνακείων, ἰδὼν δ᾽ αὐτὸν μετ᾽ ἐμοῦ παρὰ τὴν θύραν ἀπιόντα—γείτονες γὰρ ἀλλήλων τυγχάνουσιν ὄντες—τὸ μὲν πρῶτον συνδειπνεῖν ἐκέλευεν· ἐπειδὴ δὲ οὐκ ἠθέλησεν, ἐδεήθη ἥκειν αὐτὸν ἐπὶ κῶμον, λέγων ὅτι μεθ᾽ αὐτοῦ καὶ τῶν οἰκετῶν πιέτω. δειπνήσαντες οὖν, ἤδη συσκοτάζοντος, ἐλθόντες κόπτομεν τὴν θύραν· οἱ δ᾽ ἡμᾶς ἐκέλευον εἰσιέναι. ἐπειδὴ δὲ ἔνδον ἐγενόμεθα, ἐμὲ μὲν ἐκβάλλουσιν ἐκ τῆς οἰκίας· τουτονὶ δὲ συναρπάσαντες ἔδησαν πρὸς τὸν κίονα, καὶ λαβὼν μάστιγά τις, ἐντείνας πολλὰς πληγάς, εἰς οἴκημα αὐτὸν καθεῖρξε. καὶ οὐκ ἐξήρκεσεν αὐτῷ ταῦτα μόνον ἐξαμαρτεῖν, ἀλλ᾽ ἐζηλωκὼς μὲν τῶν νέων τοὺς πονηροτάτους ἐν τῇ πόλει, νεωστὶ δὲ τὰ πατρῷα παρειληφὼς καὶ προσποιούμενος νέος καὶ πλούσιος εἶναι, πάλιν τοὺς οἰκέτας ἐκέλευεν, ἡμέρας ἤδη γενομένης, πρὸς τὸν κίονα αὐτὸν δήσαντες μαστιγοῦν. οὕτω δὲ τοῦ σώματος ἤδη πονηρῶς διακειμένου, Ἀντίμαχον μεταπεμψάμενος τῶν μὲν γεγενημένων οὐδὲν εἶπεν, ἔλεγε δὲ ὡς αὐτὸς μὲν δειπνῶν τύχοι, οὗτος δὲ μεθύων ἔλθοι, ἐκκόψας δὲ τὴν θύραν καὶ εἰσελθὼν κακῶς λέγοι αὐτὸν καὶ τὸν Ἀντίμαχον καὶ τὰς γυναῖκας αὐτῶν. Ἀντίμαχος δὲ ὠργίζετο μὲν αὐτοῖς ὡς μεγάλα ἡμαρτηκόσιν, ὅμως δὲ μάρτυρας παρακαλέσας ἠρώτα αὐτὸν πῶς εἰσέλθοι· ὁ δέ, κελεύσαντος Τίσιδος καὶ τῶν οἰκετῶν, ἔφασκε. συμβουλευόντων δὲ τῶν εἰσελθόντων ὡς τάχιστα λῦσαι καὶ τὰ γεγενημένα δεινὰ νομιζόντων εἶναι, ἀπέδοσαν αὐτὸν τοῖς ἀδελφοῖς. οὐ δυναμένου δὲ βαδίζειν, ἐκόμισαν αὐτὸν εἰς τὸ Δεῖγμα ἐν κλίνῃ· καὶ ἐπέδειξαν πολλοῖς μὲν Ἀθηναίων πολλοῖς δὲ καὶ τῶν ἄλλων ξένων οὕτω διακείμενον, ὥστε τοὺς ἰδόντας μὴ μόνον τοῖς ποιήσασιν ὀργίζεσθαι, ἀλλὰ καὶ τῆς πόλεως κατηγορεῖν, ὅτι οὐ

δημοσίᾳ οὐδὲ παραχρῆμα τοὺς τὰ τοιαῦτα ἐξαμαρτάνοντας τιμωρεῖται.

Lysias, *Tisis.*

58

A Letter

Δημοφῶν Πτολεμαίῳ χαίρειν. ἀπόστειλον ἡμῖν ἐκ παντὸς τρόπου τὸν αὐλητὴν Πετωὸν ἔχοντα τούς τε Φρυγίους αὐλοὺς καὶ τοὺς λοιπούς, καὶ ἐάν τι δέῃ ἀνηλῶσαι δός, παρὰ δὲ ἡμῶν κομιεῖς. ἀπόστειλον δὲ ἡμῖν καὶ Ζηνόβιον ἔχοντα τύμπανον καὶ κύμβαλα καὶ κρόταλα, χρεία γάρ ἐστι ταῖς γυναιξὶ πρὸς τὴν θυσίαν· ἐχέτω δὲ καὶ ἱματισμὸν ὡς ἀστειότατον. κόμισαι δὲ καὶ τὸν ἔριφον παρὰ Ἀριστίωνος καὶ πέμψον ἡμῖν. ἀπόστειλον δὲ ἡμῖν καὶ τυροὺς ὅσους ἂν δύνῃ καὶ κέραμον καινὸν καὶ λάχανα παντοδαπὰ καὶ εἴ τι ὄψον ἔχεις. ἔρρωσο. ἐμβαλοῦ δὲ αὐτὰ καὶ φύλακας οἳ συνδιακομιοῦσιν τὸ πλοῖον.

Hibeh Papyri 201.

59

Invitation to a Wedding-Feast

ἐρωτᾷ σε Ἡραῒς δειπνῆσαι ἐς γάμους τέκνων αὐτῆς ἐν τῇ οἰκίᾳ αὔριον, ἥτις ἐστὶν πέμπτη, ἀπὸ ὥρας $\bar{\theta}$.

Hibeh Papyri.

60

A Boy to his Father

Θέων Θέωνι τῷ πατρὶ χαίρειν.

καλῶς ἐποίησας οὐκ ἀπενέγκας με μετὰ σοῦ εἰς

πόλιν. εἰ μὴ θέλεις ἀπενεγκεῖν μετὰ σοῦ εἰς Ἀλεξανδρείαν οὐ μὴ γράψω σοι ἐπιστολὴν οὔτε λαλῶ σοι οὔτε ὑγιαίνω σε ἔπειτα· ἂν δὲ ἔλθῃς εἰς Ἀλεξανδρείαν οὐ μὴ λάβω χεῖρα παρὰ σοῦ οὔτε πάλιν χαίρω σε λοιπόν. ἂν μὴ θέλῃς ἀπενέγκαι με, ταῦτα γίγνεται. καὶ ἡ μήτηρ μου εἶπεν Ἀρχελάῳ ὅτι "ἀναστατοῖ μὴ αἴρων αὐτόν." καλῶς δὲ ἐποίησας δῶρά μοι πέμψας τῇ ἡμέρᾳ ὅτε ἔπλευσας. λύρον πέμψον, παρακαλῶ σε. ἂν μὴ πέμψῃς οὐ μὴ φάγω, οὐ μὴ πίνω· ταῦτα. ἐρρῶσθαί σε εὔχομαι.

ἀπόδος Θέωνι ἀπὸ Θεωνᾶτος υἱοῦ.

Oxyrynchus Papyri i. p. 185.

61

A Morning's Occupations

ἀναστὰς πρωῒ τῆς ἡμέρας, καὶ διὰ τὴν ἀρρωστίαν τοῦ σώματος καὶ διὰ τὸν ἀέρα, ψυχρότατον ὄντα, καίπερ μεσοῦντος θέρους, ἐπεμελήθην ἐμαυτοῦ καὶ προσηυξάμην. ἔπειτα ἀνέβην ἐπὶ τὸ ζεῦγος, καὶ περιῆλθον ἐν τῷ ἱπποδρόμῳ πολλούς τινας κύκλους. καὶ μετὰ ταῦτα περιπατήσας ἀνεπαυσάμην μικρόν τινα χρόνον. ἔπειτα ἀλειψάμενος καὶ λουσάμενος, καὶ μικρὸν ἐμφαγών, ἀνεγίγνωσκον τραγῳδίας τινας. ἦσαν δὲ ἄκρων ἀνδρῶν, Αἰσχύλου καὶ Σοφοκλέους καὶ Εὐριπίδου, πάντων περὶ τὴν αὐτὴν ὑπόθεσιν.

Dion Chrysostom (*ed.* Annim) ii. 105.

62

Dress

διὰ τί ποτε οἱ ἄνθρωποι, ὅταν μέν τινα ἴδωσιν μόνον χιτῶνα ἔχοντα, οὔτε προσέχουσιν οὔτε κατα-

γελῶσι, λογιζόμενοι ἴσως ὅτι ναύτης ἐστὶν ὁ ἄνθρωπος, καὶ ὅτι οὐδὲν δεῖ καταγελᾶν τούτου ἕνεκα· ὁμοίως δ' οὐ χαλεπαίνουσιν οὐδ' ἐάν τινα ἴδωσι γεωργοῦ στολὴν ἔχοντα ἢ ποιμένος, ἐξωμίδα ἔχοντα ἢ διφθέραν ἐνημμένον ἢ κοσύμβην ὑποδεδυκότα, ἡγοῦνται γὰρ προσήκειν τὴν στολὴν τῷ τοιοῦτόν τι πράττοντι. καὶ μὴν τούς γε καπήλους ἑκάστοτε ὁρῶντες πρὸ τῶν καπηλείων ἀνεζωσμένους οὐδέποτε τωθάζουσι, καταγελῷεν δ' ἂν τοὐναντίον, εἰ μὴ οὕτως ἐνεσκευασμένοι εἶεν, ὡς οἰκείου τοῦ σχήματος ὄντος τῇ ἐργασίᾳ, ἣν μεταχειρίζονται. ἐπειδὰν δέ τινα ἴδωσιν ἀχίτωνα ἐν ἱματίῳ κομῶντα τὴν κεφαλὴν καὶ τὰ γένεια, οὐχ οἷοί τ' εἰσι πρὸς τούτους ἡσυχίαν ἄγειν οὐδὲ σιγῇ παριέναι, ἀλλ' ἐφίστανται καὶ ἐρεθίζουσι καταγελῶντες ἢ λοιδοροῦντες, καὶ δὴ καὶ ἕλκουσιν ἐπιλαβόμενοι, καὶ ταῦτα εἰδότες ὅτι τοῖς καλουμένοις φιλοσόφοις συνήθης ἐστὶν ἡ στολὴ αὕτη. ἐκεῖνο δ' ἔτι παραδοξότερον· ἐνίοτε μὲν γὰρ βλέπουσί τινας, ἄλλους μὲν πίλους ἐπὶ ταῖς κεφαλαῖς ἔχοντες (ὡς νῦν τῶν Θρᾳκῶν τινες ποιοῦσι, πρότερον δὲ Λακεδαιμόνιοι καὶ Μακεδόνες), ἄλλους δὲ τιάραν καὶ ἀναξυρίδας, καθάπερ οἶμαι Πέρσαι τε καὶ Βάκτριοι καὶ ἄλλοι πολλοὶ τῶν βαρβάρων· οἱ δὲ ἔτι τούτων ἀτοπώτεροι εἰώθασιν ἐπιδημεῖν πτερὰ ἔχοντες ἐπὶ ταῖς κεφαλαῖς ὀρθά, ὥσπερ Νασάμωνες. ἀλλ' οὐδὲ τούτοις τολμῶσι πράγματα παρέχειν οὐδ' ἐνοχλεῖν προσιόντες.

Dion Chrysostom ii. 184.

63

Street Scenes

ἔστι καὶ ἐν τῷ πάνυ θορύβῳ τε καὶ πλήθει πράττειν ἕκαστον τὸ αὑτοῦ ἔργον. ὁ γὰρ αὐλῶν ἢ

διδάσκων αὐλεῖν τοῦτο ποιεῖ πολλάκις ἐπ' αὐτῆς τῆς ὁδοῦ τὸ διδασκαλεῖον ἔχων, καὶ οὐδὲν αὐτὸν ἐξίστησι τὸ πλῆθος οὐδ' ὁ θόρυβος τῶν παριόντων· καὶ ὁ ὀρχούμενος ὁμοίως ἢ ὀρχηστοδιδάσκαλος πρὸς τούτῳ ἐστίν, ἀμελήσας τῶν μαχομένων τε καὶ ἀποδιδομένων καὶ ἄλλα πραττόντων, καὶ ὁ κιθαριστὴς καὶ ὁ ζῳγράφος· καὶ δὴ καὶ οἱ τῶν γραμμάτων διδάσκαλοι μετὰ τῶν παίδων ἐν ταῖς ὁδοῖς κάθηνται, καὶ οὐδὲν αὐτοῖς ἐμποδών ἐστιν ἐν τοσούτῳ πλήθει τοῦ διδάσκειν τε καὶ μανθάνειν. ἤδη δέ ποτε εἶδον ἐγὼ διὰ τοῦ ἱπποδρόμου βαδίζων πολλοὺς ἐν τῷ αὐτῷ ἄλλον ἄλλο τι πράττοντας, τὸν μὲν αὐλοῦντα, τὸν δὲ ὀρχούμενον, τὸν δὲ θαῦμα ἀποδιδόμενον, τὸν δὲ ποίημα ἀναγιγνώσκοντα, τὸν δ' ᾄδοντα, τὸν δὲ ἱστορίαν τινὰ ἢ μῦθον διηγούμενον· καὶ οὐδὲ εἷς τούτων οὐδένα ἐκώλυε προσέχειν αὐτῷ καὶ τὸ προκείμενον πράττειν. ἄλλοτε δὲ κἂν ἀκούοις κήρυκας ὠνίων καὶ κλοπῶν ἢ δρασμῶν μήνυτρα προτιθέντας ἐν ὁδοῖς καὶ ἐν ἀγορᾷ φθεγγομένους μετὰ πολλῆς ἐλευθερίας.

Dion Chrysostom ii. 261.

64

A Bad Season

ἐν Θάσῳ πρωῒ τοῦ φθινοπώρου χειμῶνες οὐ κατὰ καιρόν, ἀλλ' ἐξαίφνης ἐν βορείοις καὶ νοτίοις πολλοῖς ὑγροὶ καὶ προεκρηγνύμενοι. ταῦτα δὴ ἐγένετο τοιαῦτα μέχρι πλειάδος δύσεως καὶ ὑπὸ πλειάδα. χειμὼν δὲ βόρειος· ὕδατα πολλά, λάβρα, μεγάλα· χιόνες· μειξαίθρια τὰ πλεῖστα. ταῦτα δὲ ἐγένετο μὲν πάντα, οὐ λίαν δὲ ἀκαίρως τὰ τῶν ψυχῶν. ἤδη δὲ μεθ' ἡλίου τροπὰς χειμερινὰς καὶ ἡνίκα ζέφυρος πνεῖν ἄρχεται, ὀπισθοχειμῶνες μεγάλοι, βόρεια πολλά, χιὼν καὶ

ὕδατα πολλὰ συνεχῶς, οὐρανὸς λαιλαπώδης καὶ ἐπινέφελος. ταῦτα δὲ συνέτεινε καὶ οὐκ ἀνίει μέχρι ἰσημερίας. ἔαρ δὲ ψυχρόν, βόρειον, ὑδατῶδες, ἐπινέφελον. θέρος οὐ λίαν καυματῶδες ἐγένετο· ἐτησίαι συνεχεῖς ἔπνευσαν. ταχὺ δὲ περὶ ἀρκτοῦρον ἐν βορείοις πολλὰ πάλιν ὕδατα.

γενομένου δὲ τοῦ ἔτους ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχε τὰ πλεῖστα, πρωῒ δὲ τοῦ ἦρος πολλοί τινες καὶ οἱ πλεῖστοι διῆγον ἐπινόσως. ἤρξαντο μὲν οὖν τὸ πρῶτον ὀφθαλμίαι ῥοώδεις, ὀδυνώδεις· ἀπέλιπον ὀψὲ πρὸς τὸ φθινόπωρον. κατὰ δὲ θέρος καὶ φθινόπωρον ἱδρῶτες· πᾶσι πάντοθεν πολὺς πλάδος, πολλοῖς δὲ πυρετοί. ὑπὸ χειμῶνα πυρετοὶ συνεχεῖς, καί τισιν αὐτῶν ὀλίγοις καυσώδεις—ἡμερινοί, νυκτερινοί, ἡμιτριταῖοι, τριταῖοι ἀκριβεῖς, τεταρταῖοι, πλάνητες.

Hippocrates, *Epidêmiôn* i. 4.

65

Another Bad Season

ἔτος νότιον ἔπομβρον· ἄπνοια διὰ τέλους. αὐχμῶν δὲ γενομένων τοὺς ὑπόπροσθεν χρόνους ἐν νοτίοις περὶ ἀρκτοῦρον ὕδατα πολλά. φθινόπωρον σκιῶδες, ἐπινέφελον, ὑδάτων πλήθη. χειμὼν νότιος, ὑγρός, μαλθακὸς μετὰ ἡλίου τροπάς· ὕστερον πολλῷ πλησίον ἰσημερίας ὀπισθοχειμῶνες, καὶ ἤδη περὶ ἰσημερίαν βόρεια, χιονώδη, οὐ πολὺν χρόνον. ἔαρ πάλιν νότιον, ἄπνουν· ὕδατα πολλὰ διὰ τέλους μεχρὶ κυνός. θέρος αἴθριον, θερμόν, πνίγη μεγάλα· ἐτησίαι μικρὰ διεσπασμένως ἔπνευσαν· πάλιν δὲ περὶ ἀρκτοῦρον ἐν βορείοις ὕδατα πολλά. γενομένου δὲ τοῦ ἔτους νοτίου καὶ ὑγροῦ καὶ μαλθακοῦ κατὰ χειμῶνα διῆγον ὑγιηρῶς πλὴν τῶν φθινωδῶν.

Hippocrates, *ibid.* iii. 2.

66

A Sad Case

Ἀπολλώνιος ἐν Ἀβδήροις ὀρθοστάδην ὑπεφέρετο χρόνον πολύν. ἦν δὲ μεγαλόσπλαγχνος, καὶ περὶ ἧπαρ συνήθης ὀδύνη χρόνον πολὺν παρείπετο. φαγὼν δὲ καὶ πιὼν ἀκαιρότερον βόειον ἐθερμάνθη μικρὰ τὸ πρῶτον, κατεκλίνη. γάλαξι δὲ χρησάμενος ἑφθοῖς καὶ ὠμοῖς πολλοῖς, αἰγείοις καὶ μηλείοις, καὶ διαιτῇ κακῇ πάντων βλάβαι μεγάλαι· οἵ τε γὰρ πυρετοὶ παρωξύνθησαν, καὶ ὕπνοι οὐκ ἐνῆσαν· ἐμφύσημα κακόν, πολὺ δίψος, ἄκρη πάντοθεν ὑπόψυχρα, μικρὰ παρέλεγε, λήθη πάντων ὅτι λέγοι, παρεφέρετο. περὶ δὲ τεσσαρεσκαιδεκάτην, ἀφ' ἧς κατεκλίνη, ῥιγώσας ἐπεθερμάνθη· ἐξεμάνη· βοή, ταραχή, λόγοι πολλοί, καὶ τὸ κῶμα προσῆλθε. περὶ δὲ εἰκοστὴν τετάρτην διὰ παρηγορίας· μικρὰ κατενόησεν, ἐξ οὗ δὲ κατεκλίνη οὐδενὸς ἐμνήσθη· πάλιν δὲ ταχὺ παρενόει, ὥρμητο πάντα ἐπὶ τὸ χεῖρον. περὶ δὲ τριακοστὴν πυρετὸς ὀξύς· παράληρος, ἄκρη ψυχρά, ἄφωνος. τριακοστῇ τετάρτῃ ἀπέθανεν.

Hippocrates iii. 17.

67

A Sudden Stroke

ἐν τοῖς Ἀχαρνεῦσι τοῖς Ἀριστοφάνους παρεστηκὼς ἦν καθημένῳ τῷ γραμματιστῇ, ὁ δ' ἥλιος νέφεσιν οὕτω πάχεσιν ἐκέκρυπτο, ὥστ' ἤδη τινὰ νύκτα ἐκείνην τὴν ἡμέραν φαίνεσθαι. μέγα δὲ κτυπήσαντος τοῦ Διὸς καὶ ἅμα κεραυνὸν ἀφέντος ἐπέπληκτο μὲν τῷ πυρὶ τὰ ὄμματα, ἐπέπληκτο δὲ ἡ κεφαλὴ τῇ βροντῇ. καὶ ᾤμην μὲν αὐτίκα λήξειν τὴν ταραχήν, ἀπελθὼν δ'

οἴκαδε καὶ ἐπ' ἀρίστῳ κατακλιθεὶς βροντῆς τε ἐκείνης ἐδόκουν ἀκούειν καὶ κεραυνὸν ἐκεῖνον τὴν οἰκίαν παραθεῖν, ἱδρῶτα δ' ἐκίνει τὸ δέος, καὶ ἀναπηδήσας ἐκ τῶν σιτίων ἐπὶ τὴν κλίνην καταφεύγω.

Aristides.

68

Back from the War

ἧκον μὲν τῇ προτεραίᾳ ἑσπέρας ἐκ Ποτιδαίας ἀπὸ τοῦ στρατοπέδου, οἷον δὲ διὰ χρόνου ἀφιγμένος ἀσμένως ᾖα ἐπὶ τὰς ξυνήθεις διατριβάς. καὶ δὴ καὶ εἰς τὴν Ταυρέου παλαίστραν τὴν καταντικρὺ τοῦ τῆς βασιλικῆς ἱεροῦ εἰσῆλθον, καὶ αὐτόθι κατέλαβον πάνυ πολλούς, τοὺς μὲν καὶ ἀγνῶτας ἐμοί, τοὺς δὲ πλείστους γνωρίμους. καί με ὡς εἶδον εἰσιόντα ἐξ ἀπροσδοκήτου, εὐθὺς πόρρωθεν ἠσπάζοντο ἄλλος ἄλλοθεν· Χαιρεφῶν δέ, ἅτε καὶ μανικὸς ὤν, ἀναπηδήσας ἐκ μέσων ἔθει πρός με, καί μου λαβόμενος τῆς χειρός, Ὦ Σώκρατες, ἦ δ' ὅς, πῶς ἐσώθης ἐκ τῆς μάχης; ὀλίγον δὲ πρὶν ἡμᾶς ἀπιέναι μάχη ἐγεγόνει ἐν τῇ Ποτιδαίᾳ, ἣν ἄρτι ἦσαν οἱ τῇδε πεπυσμένοι. καὶ ἐγὼ πρὸς αὐτὸν ἀποκρινόμενος, Οὑτωσί, ἔφην, ὡς σὺ ὁρᾷς. Καὶ μὴν ἤγγελταί γε δεῦρο, ἔφη, ἥ τε μάχη πάνυ ἰσχυρὰ γεγονέναι καὶ ἐν αὐτῇ πολλοὺς τῶν γνωρίμων τεθνάναι. Καὶ ἐπιεικῶς, ἦν δ' ἐγώ, ἀληθῆ ἀπήγγελται. Παρεγένου μέν, ἦ δ' ὅς, τῇ μάχῃ; Παρεγενόμην. Δεῦρο δή, ἔφη, καθεζόμενος ἡμῖν διήγησαι· οὐ γάρ τί πω πάντα σαφῶς πεπύσμεθα. καὶ ἅμα με καθίζει ἄγων παρὰ Κριτίαν τὸν Καλλαίσχρου. παρακαθεζόμενος οὖν ἠσπαζόμην τόν τε Κριτίαν καὶ τοὺς ἄλλους, καὶ διηγούμην αὐτοῖς τὰ ἀπὸ στρατοπέδου, ὅ τί μέ τις ἀνέροιτο· ἠρώτων δὲ ἄλλος ἄλλο.

Plato, *Charmides*, *init.*

69

A Friendly Visit

κατέβην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος, προσευξόμενός τε τῇ θεῷ καὶ ἅμα τὴν ἑορτὴν βουλόμενος θεάσασθαι, τίνα τρόπον ποιήσουσιν ἅτε νῦν πρῶτον ἄγοντες. καλὴ μὲν οὖν μοι καὶ ἡ τῶν ἐπιχωρίων πομπὴ ἔδοξεν εἶναι, οὐ μέντοι ἧττον ἐφαίνετο πρέπειν ἣν οἱ Θρᾷκες ἔπεμπον. προσευξάμενοι δὲ καὶ θεωρήσαντες ἀπῆμεν πρὸς τὸ ἄστυ. κατιδὼν οὖν πόρρωθεν ἡμᾶς οἴκαδε ὡρμημένους, Πολέμαρχος ὁ Κεφάλου ἐκέλευσε δραμόντα τὸν παῖδα περιμεῖναί ἑ κελεῦσαι. καί μου ὄπισθεν ὁ παῖς λαβόμενος τοῦ ἱματίου, Κελεύει ὑμᾶς, ἔφη, Πολέμαρχος περιμεῖναι. καὶ ἐγὼ μετεστράφην τε καὶ ἠρόμην ὅπου αὐτὸς εἴη. Οὗτος, ἔφη, ὄπισθεν προσέρχεται· ἀλλὰ περιμένετε. Ἀλλὰ περιμενοῦμεν, ἦ δ' ὃς ὁ Γλαύκων. καὶ ὀλίγῳ ὕστερον ὅ τε Πολέμαρχος ἧκε καὶ Ἀδείμαντος ὁ τοῦ Γλαύκωνος ἀδελφὸς καὶ Νικήρατος ὁ Νικίου καὶ ἄλλοι τινές, ὡς ἀπὸ τῆς πομπῆς. ὁ οὖν Πολέμαρχος ἔφη Ὦ Σώκρατες, δοκεῖτέ μοι πρὸς ἄστυ ὡρμῆσθαι ὡς ἀπιόντες. Οὐ γὰρ κακῶς δοξάζεις, ἦν δ' ἐγώ. Ὁρᾷς οὖν ἡμᾶς, ἔφη, ὅσοι ἐσμέν ; Πῶς γὰρ οὔ ; Ἢ τοίνυν τούτων, ἔφη, κρείττους γένεσθε ἢ μένετ' αὐτοῦ. Οὐκοῦν, ἦν δ' ἐγώ, ἔτι ἓν λείπεται, τὸ ἢν πείσωμεν ὑμᾶς ὡς χρὴ ἡμᾶς ἀφεῖναι. Ἦ καὶ δύναισθ' ἄν, ἦ δ' ὅς, πεῖσαι μὴ ἀκούοντας ; Οὐδαμῶς, ἔφη ὁ Γλαύκων. Ὡς τοίνυν μὴ ἀκουσομένων οὕτω διανοεῖσθε. καὶ ὁ Ἀδείμαντος, Ἆρά γε, ἦ δ' ὅς, οὐδ' ἴστε ὅτι λαμπὰς ἔσται πρὸς ἑσπέραν ἀφ' ἵππων τῇ θεῷ ; Ἀφ' ἵππων ; ἦν δ' ἐγώ· καινόν γε τοῦτο. λαμπάδια ἔχοντες διαδώσουσιν ἀλλήλοις ἁμιλλώμενοι τοῖς ἵπποις ; ἢ πῶς λέγεις ; Οὕτως, ἔφη ὁ Πολέμαρχος·

καὶ πρός γε παννυχίδα ποιήσουσιν, ἣν ἄξιον θεάσασθαι· ἐξαναστησόμεθα γὰρ μετὰ τὸ δεῖπνον καὶ τὴν παννυχίδα θεασόμεθα, καὶ ξυνεσόμεθά τε πολλοῖς τῶν νέων αὐτόθι καὶ διαλεξόμεθα· ἀλλὰ μένετε καὶ μὴ ἄλλως ποιεῖτε. καὶ ὁ Γλαύκων, Ἔοικεν, ἔφη, μενετέον εἶναι. Ἀλλ' εἰ δοκεῖ, ἦν δ' ἐγώ, οὕτω χρὴ ποιεῖν.

ᾖμεν οὖν οἴκαδε εἰς τοῦ Πολεμάρχου, καὶ Λυσίαν τε αὐτόθι κατελάβομεν καὶ Εὐθύδημον, τοὺς τοῦ Πολεμάρχου ἀδελφούς, καὶ δὴ καὶ Θρασύμαχον τὸν Χαλκηδόνιον καὶ Χαρμαντίδην τὸν Παιανιέα καὶ Κλειτοφῶντα τὸν Ἀριστωνύμου· ἦν δ' ἔνδον καὶ ὁ πατὴρ ὁ τοῦ Πολεμάρχου Κέφαλος. καὶ μάλα πρεσβύτης μοι ἔδοξεν εἶναι· διὰ χρόνου γὰρ καὶ ἑωράκη αὐτόν· καθῆστο δὲ ἐστεφανωμένος ἐπί τινος προσκεφαλαίου τε καὶ δίφρου· τεθυκὼς γὰρ ἐτύγχανεν ἐν τῇ αὐλῇ· ἐκαθεζόμεθα οὖν παρ' αὐτόν· ἔκειντο γὰρ δίφροι τινὲς αὐτόθι κύκλῳ. εὐθὺς οὖν με ἰδὼν ὁ Κέφαλος ἠσπάζετό τε καὶ εἶπεν Ὦ Σώκρατες, οὐδὲ θαμίζεις ἡμῖν καταβαίνων εἰς τὸν Πειραιᾶ· χρῆν μέντοι. εἰ μὲν γὰρ ἐγὼ ἔτι ἐν δυνάμει ἦ τοῦ ῥᾳδίως πορεύεσθαι πρὸς ἄστυ, οὐδὲν ἄν σε ἔδει δεῦρο ἰέναι, ἀλλ' ἡμεῖς ἂν παρὰ σὲ ᾖμεν· νῦν δέ σε χρὴ πυκνότερον δεῦρο ἰέναι· ὡς εὖ ἴσθι ὅτι ἔμοιγε ὅσον αἱ ἄλλαι αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αὔξονται αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι τε καὶ ἡδοναί. μὴ οὖν ἄλλως ποίει, ἀλλὰ τοῖσδέ τε τοῖς νεανίαις ξύνισθι, καὶ δεῦρο παρ' ἡμᾶς φοίτα ὡς παρὰ φίλους τε καὶ πάνυ οἰκείους. Καὶ μήν, ἦν δ' ἐγώ, ὦ Κέφαλε, χαίρω διαλεγόμενος τοῖς σφόδρα πρεσβύταις. δοκεῖ γάρ μοι χρῆναι παρ' αὐτῶν πυνθάνεσθαι, ὥσπερ τινὰ ὁδὸν προεληλυθότων, ἣ καὶ ἡμᾶς ἴσως δεήσει πορεύεσθαι, ποία τίς ἐστι, τραχεῖα καὶ χαλεπή, ἢ ῥᾳδία καὶ εὔπορος. καὶ δὴ καὶ σοῦ ἡδέως ἂν πυθοίμην ὅ τί σοι φαίνεται τοῦτο, ἐπειδὴ ἐνταῦθα ἤδη εἶ τῆς ἡλικίας, ὃ δὴ ἐπὶ γήραος

οὐδῷ φασὶν εἶναι οἱ ποιηταί, πότερον χαλεπὸν τοῦ βίου, ἢ πῶς σὺ αὐτὸ ἐξαγγέλλεις.

Plato, *Republic*, *init.*

70

In a Gymnasium

ἐπορευόμην μὲν ἐξ Ἀκαδημείας εὐθὺ Λυκείου τὴν ἔξω τείχους ὑπ᾽ αὐτὸ τὸ τεῖχος· ἐπειδὴ δ᾽ ἐγενόμην κατὰ τὴν πυλίδα ᾗ ἡ Πάνοπος κρήνη, ἐνταῦθα συνέτυχον Ἱπποθάλει τε τῷ Ἱερωνύμου καὶ Κτησίππῳ τῷ Παιανιεῖ καὶ ἄλλοις μετὰ τούτων νεανίσκοις ἀθρόοις συνεστῶσι. καί με προσιόντα ὁ Ἱπποθάλης ἰδὼν Ὦ Σώκρατες, ἔφη, ποῖ δὴ πορεύει καὶ πόθεν; Ἐξ Ἀκαδημείας, ἦν δ᾽ ἐγώ, πορεύομαι εὐθὺ Λυκείου. Δεῦρο δή, ἦ δ᾽ ὅς, εὐθὺ ἡμῶν. οὐ παραβάλλεις; ἄξιον μέντοι. Ποῖ, ἔφην ἐγώ, λέγεις, καὶ παρὰ τίνας τοὺς ὑμᾶς; Δεῦρο, ἔφη, δείξας μοι ἐν τῷ καταντικρὺ τοῦ τείχους περίβολόν τέ τινα καὶ θύραν ἀνεῳγμένην. διατρίβομεν δέ, ἦ δ᾽ ὅς, αὐτόθι ἡμεῖς τε αὐτοὶ καὶ ἄλλοι πάνυ πολλοὶ καὶ καλοί. Ἔστι δὲ δὴ τί τοῦτο, καὶ τίς ἡ διατριβή; Παλαίστρα, ἔφη, νεωστὶ ᾠκοδομημένη· ἡ δὲ διατριβὴ τὰ πολλὰ ἐν λόγοις, ὧν ἡδέως ἄν σοι μεταδιδοῖμεν. Καλῶς δέ, ἦν δ᾽ ἐγώ, ποιοῦντες· διδάσκει δὲ τίς αὐτόθι; Σὸς ἑταῖρός γε, ἦ δ᾽ ὅς, καὶ ἐπαινέτης, Μίκκος. Μὰ Δία, ἦν δ᾽ ἐγώ, οὐ φαῦλός γ᾽ ἀνήρ, ἀλλ᾽ ἱκανὸς σοφιστής. Βούλει οὖν ἕπεσθαι, ἔφη, ἵνα καὶ ἴδῃς τοὺς ὄντας αὐτόθι; Ταῦτα, ἦν δ᾽ ἐγώ, χρὴ ποιεῖν· καὶ ἅμα λαβὼν τὸν Κτήσιππον προσῄειν εἰς τὴν παλαίστραν· οἱ δ᾽ ἄλλοι ὕστεροι ἡμῶν ᾔεσαν. εἰσελθόντες δὲ κατελάβομεν αὐτόθι τεθυκότας τε τοὺς παῖδας καὶ τὰ περὶ τὰ ἱερεῖα σχεδόν τι ἤδη πεποιημένα, ἀστραγαλίζοντάς τε δὴ καὶ κεκοσμημένους ἅπαντας.

οἱ μὲν οὖν πολλοὶ ἐν τῇ αὐλῇ ἔπαιζον ἔξω, οἱ δέ τινες τοῦ ἀποδυτηρίου ἐν γωνίᾳ ἠρτίαζον ἀστραγάλοις παμπόλλοις, ἐκ φορμίσκων τινῶν προαιρούμενοι· τούτους δὲ περιέστασαν ἄλλοι θεωροῦντες. ὧν δὴ καὶ ὁ Λύσις ἦν, καὶ εἱστήκει ἐν τοῖς παισί τε καὶ νεανίσκοις ἐστεφανωμένος καὶ τὴν ὄψιν διαφέρων, οὐ τὸ καλὸς εἶναι μόνον ἄξιος ἀκοῦσαι, ἀλλ' ὅτι καλός τε κἀγαθός. καὶ ἡμεῖς εἰς τὸ καταντικρὺ ἀποχωρήσαντες ἐκαθεζόμεθα —ἦν γὰρ αὐτόθι ἡσυχία· καί τι ἀλλήλοις διελεγόμεθα. περιστρεφόμενος οὖν ὁ Λύσις θαμὰ ἐπεσκοπεῖτο ἡμᾶς, καὶ δῆλος ἦν ἐπιθυμῶν προσελθεῖν. τέως μὲν οὖν ἠπόρει τε καὶ ὤκνει μόνος προσιέναι· ἔπειτα ὁ Μενέξενος ἐκ τῆς αὐλῆς μεταξὺ παίζων εἰσέρχεται, καὶ ὡς εἶδεν ἐμέ τε καὶ τὸν Κτήσιππον, ᾔει παρακαθιζησόμενος· ἰδὼν οὖν αὐτὸν ὁ Λύσις ἕσπετο καὶ συμπαρεκαθέζετο μετὰ τοῦ Μενεξένου. προσῆλθον δὴ καὶ οἱ ἄλλοι, καὶ δὴ καὶ ὁ Ἱπποθάλης, ἐπειδὴ πλείους ἑώρα ἐφισταμένους, τούτους ἐπηλυγισάμενος προσέστη ᾗ μὴ ᾤετο κατόψεσθαι τὸν Λύσιν, δεδιὼς μὴ αὐτῷ ἀπεχθάνοιτο· καὶ οὕτω προσεστὼς ἠκροᾶτο. καὶ ἐγὼ πρὸς τὸν Μενέξενον ἀποβλέψας, Ὦ παῖ Δημοφῶντος, ἦν δ' ἐγώ, πότερος ὑμῶν πρεσβύτερος; Ἀμφισβητοῦμεν, ἔφη. Οὐκοῦν καὶ ὁπότερος γενναιότερος, ἐρίζοιτ' ἄν; ἦν δ' ἐγώ. Πάνυ γε, ἔφη. καὶ μὴν ὁπότερός γε καλλίων, ὡσαύτως. ἐγελασάτην οὖν ἄμφω. Οὐ μὴν ὁπότερός γε, ἔφην, πλουσιώτερος ὑμῶν, οὐκ ἐρήσομαι· φίλω γάρ ἐστον. ἦ γάρ; Πάνυ γ', ἐφάτην. Οὐκοῦν κοινὰ τά γε φίλων λέγεται, ὥστε τούτῳ γε οὐδὲν διοίσετον, εἴπερ ἀληθῆ περὶ τῆς φιλίας λέγετον. συνεφάτην.

ἐπεχείρουν δὴ μετὰ τοῦτο ἐρωτᾶν, ὁπότερος δικαιότερος καὶ σοφώτερος αὐτῶν εἴη. μεταξὺ οὖν τις προσελθὼν ἀνέστησε τὸν Μενέξενον, φάσκων καλεῖν τὸν παιδοτρίβην· ἐδόκει γάρ μοι ἱεροποιῶν τυγχάνειν. ἐκεῖνος μὲν οὖν ᾤχετο· ἐγὼ δὲ τὸν Λύσιν ἠρόμην,

*Ἦ που, ἦν δ' ἐγώ, ὦ Λύσι, σφόδρα φιλεῖ σε ὁ πατὴρ καὶ ἡ μήτηρ; Πάνυ γε, ἦ δ' ὅς. Οὐκοῦν βούλοιντο ἄν σε ὡς εὐδαιμονέστατον εἶναι; Πῶς γὰρ οὔ; Δοκεῖ δέ σοι εὐδαίμων εἶναι ἄνθρωπος δουλεύων τε καὶ ᾧ μηδὲν ἐξείη ποιεῖν ὧν ἐπιθυμοῖ; Μὰ Δί' οὐκ ἔμοιγε, ἔφη. Οὐκοῦν εἴ σε φιλεῖ ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ εὐδαίμονά σε ἐπιθυμοῦσι γένεσθαι, τοῦτο παντὶ τρόπῳ δῆλον ὅτι προθυμοῦνται ὅπως ἂν εὐδαιμονοίης. Πῶς γὰρ οὐχί; ἔφη. Ἐῶσιν ἄρα σε ἃ βούλει ποιεῖν, καὶ οὐδὲν ἐπιπλήττουσιν οὐδὲ διακωλύουσι ποιεῖν ὧν ἂν ἐπιθυμῇς; Ναὶ μὰ Δί' ἐμέ γε, ὦ Σώκρατες, καὶ μάλα γε πολλὰ κωλύουσιν. Πῶς λέγεις; ἦν δ' ἐγώ. βουλόμενοί σε μακάριον εἶναι διακωλύουσι τοῦτο ποιεῖν ὃ ἂν βούλῃ; ὧδε δέ μοι λέγε. ἢν ἐπιθυμήσῃς ἐπί τινος τῶν τοῦ πατρὸς ἁρμάτων ὀχεῖσθαι λαβὼν τὰς ἡνίας, ὅταν ἁμιλλᾶται, οὐκ ἂν ἐῷέν σε ἀλλὰ διακωλύοιεν; Μὰ Δί' οὐ μέντοι ἄν, ἔφη, ἐῷεν. Ἀλλὰ τίνα μήν; Ἔστι τις ἡνίοχος παρὰ τοῦ πατρὸς μισθὸν φέρων. Πῶς λέγεις; μισθωτῷ μᾶλλον ἐπιτρέπουσιν ἢ σοὶ ποιεῖν ὅ τι ἂν βούληται περὶ τοὺς ἵππους, καὶ προσέτι αὐτοῦ τούτου ἀργύριον τελοῦσιν; Ἀλλὰ τί μήν; ἔφη. Ἀλλὰ τοῦ ὀρικοῦ ζεύγους, οἶμαι, ἐπιτρέπουσί σοι ἄρχειν, κἂν εἰ βούλοιο λαβὼν τὴν μάστιγα τύπτειν, ἐῷεν ἄν. Πόθεν, ἦ δ' ὅς, ἐῷεν; Τί δέ; ἦν δ' ἐγώ· οὐδενὶ ἔξεστιν αὐτοὺς τύπτειν; Καὶ μάλα, ἔφη, τῷ ὀρεοκόμῳ. Δούλῳ ὄντι ἢ ἐλευθέρῳ; Δούλῳ, ἔφη. Καὶ δοῦλον, ὡς ἔοικεν, ἡγοῦνται περὶ πλείονος ἢ σὲ τὸν υἱόν, καὶ ἐπιτρέπουσι τὰ ἑαυτῶν μᾶλλον ἢ σοί, καὶ ἐῶσι ποιεῖν ὅ τι βούλεται, σὲ δὲ διακωλύουσι. καί μοι ἔτι τόδε εἰπέ. Σὲ αὐτὸν ἐῶσιν ἄρχειν σεαυτοῦ, ἢ οὐδὲ τοῦτο ἐπιτρέπουσί σοι; Πῶς γάρ, ἔφη, ἐπιτρέπουσιν; Ἀλλ' ἄρχει τίς σου; Ὅδε, παιδαγωγός, ἔφη. Μῶν δοῦλος ὤν; Ἀλλὰ τί μήν; ἡμέτερός γε, ἔφη. Ἦ δεινόν, ἦν δ' ἐγώ, ἐλεύθερον ὄντα ὑπὸ δούλου ἄρχε-

σθαι. τί δὲ ποιῶν αὖ οὗτος ὁ παιδαγωγός σου ἄρχει; Ἄγων δήπου, ἔφη, εἰς διδασκάλου. Μῶν μὴ καὶ οὗτοί σου ἄρχουσιν, οἱ διδάσκαλοι; Πάντως δήπου. Παμπόλλους ἄρα σοι δεσπότας καὶ ἄρχοντας ἑκὼν ὁ πατὴρ ἐφίστησιν. ἀλλ' ἆρα ἐπειδὰν οἴκαδε ἔλθῃς παρὰ τὴν μητέρα, ἐκείνη σε ἐᾷ ποιεῖν ὅ τι ἂν βούλῃ, ἵν' αὐτῇ μακάριος ᾖς, ἢ περὶ τὰ ἔρια ἢ περὶ τὸν ἱστόν, ὅταν ὑφαίνῃ; οὔ τι γάρ που διακωλύει σε ἢ τῆς σπάθης ἢ τῆς κερκίδος ἢ ἄλλου του τῶν περὶ ταλασιουργίαν ὀργάνων ἅπτεσθαι. καὶ ὃς γελάσας, Μὰ Δία, ἔφη, ὦ Σώκρατες, οὐ μόνον γε διακωλύει, ἀλλὰ καὶ τυπτοίμην ἂν εἰ ἁπτοίμην. Ἡράκλεις, ἦν δ' ἐγώ, μῶν μή τι ἠδίκηκας τὸν πατέρα ἢ τὴν μητέρα; Μὰ Δί' οὐκ ἔγωγε, ἔφη.

Ἀλλ' ἀντὶ τίνος μὴν οὕτω σε δεινῶς διακωλύουσιν εὐδαίμονα εἶναι καὶ ποιεῖν ὅ τι ἂν βούλῃ, καὶ δι' ἡμέρας ὅλης τρέφουσί σε ἀεί τῳ δουλεύοντα καὶ ἑνὶ λόγῳ ὀλίγου ὧν ἐπιθυμεῖς οὐδὲν ποιοῦντα; ὥστε σοι, ὡς ἔοικεν, οὔτε τῶν χρημάτων τοσούτων ὄντων οὐδὲν ὄφελος, ἀλλὰ πάντες αὐτῶν μᾶλλον ἄρχουσιν ἢ σύ, οὔτε τοῦ σώματος οὕτω γενναίου ὄντος, ἀλλὰ καὶ τοῦτο ἄλλος ποιμαίνει καὶ θεραπεύει· σὺ δὲ ἄρχεις οὐδενός, ὦ Λύσι, οὐδὲ ποιεῖς οὐδὲν ὧν ἐπιθυμεῖς. Οὐ γάρ πω, ἔφη, ἡλικίαν ἔχω, ὦ Σώκρατες. Μὴ οὐ τοῦτό σε, ὦ παῖ Δημοκράτους, κωλύῃ, ἐπεὶ τό γε τοσόνδε, ὡς ἐγᾦμαι, καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ σοι ἐπιτρέπουσι καὶ οὐκ ἀναμένουσιν ἕως ἂν ἡλικίαν ἔχῃς. ὅταν γὰρ βούλωνται αὐτοῖς τινὰ ἀναγνωσθῆναι ἢ γραφῆναι, σέ, ὡς ἐγᾦμαι, πρῶτον τῶν ἐν τῇ οἰκίᾳ ἐπὶ τοῦτο τάττουσιν. ἦ γάρ; Πάνυ γ', ἔφη. Οὐκοῦν ἔξεστί σοι ἐνταῦθ' ὅ τι ἂν βούλῃ πρῶτον τῶν γραμμάτων γράφειν καὶ ὅ τι ἂν δεύτερον· καὶ ἀναγιγνώσκειν ὡσαύτως ἔξεστι. καὶ ἐπειδάν, ὡς ἐγᾦμαι, τὴν λύραν λάβῃς, οὐ διακωλύουσί σε οὔθ' ὁ πατὴρ οὔθ' ἡ μήτηρ ἐπιτεῖναί

τε καὶ ἀνεῖναι ἣν ἂν βούλῃ τῶν χορδῶν, καὶ ψῆλαι καὶ κρούειν τῷ πλήκτρῳ. ἢ διακωλύουσιν; Οὐ δῆτα. Τί ποτ' ἂν οὖν εἴη, ὦ Λύσι, τὸ αἴτιον ὅτι ἐνταῦθα μὲν οὐ διακωλύουσιν, ἐν οἷς δὲ ἄρτι ἐλέγομεν κωλύουσιν; Ὅτι, οἶμαι, ἔφη, ταῦτα μὲν ἐπίσταμαι, ἐκεῖνα δ' οὔ. Εἶεν, ἦν δ' ἐγώ, ὦ ἄριστε· οὐκ ἄρα τὴν ἡλικίαν σου περιμένει ὁ πατὴρ ἐπιτρέπειν πάντα, ἀλλ' ᾗ ἂν ἡμέρᾳ ἡγήσηταί σε βέλτιον αὑτοῦ. Οἶμαι ἔγωγε, ἔφη.

Plato, *Lysis*, *init.*

71

A PROBLEM IN GEOMETRY

Menon—Socrates—Slave.

MEN. Ὦ Σώκρατες, πῶς λέγεις τοῦτο, ὅτι οὐ μανθάνομεν, ἀλλὰ ἣν καλοῦμεν μάθησιν ἀνάμνησίς ἐστιν; ἔχεις με τοῦτο διδάξαι ὡς οὕτως ἔχει;

ΣΩ. Καὶ ἄρτι εἶπον, ὦ Μένων, ὅτι πανοῦργος εἶ· καὶ νῦν ἐρωτᾷς εἰ ἔχω σε διδάξαι, ὃς οὔ φημι διδαχὴν εἶναι ἀλλ' ἀνάμνησιν, ἵνα δὴ εὐθὺς φαίνωμαι αὐτὸς ἐμαυτῷ τἀναντία λέγων.

MEN. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐ πρὸς τοῦτο βλέψας εἶπον, ἀλλ' ὑπὸ τοῦ ἔθους· ἀλλ' εἴ πώς μοι ἔχεις ἐνδείξασθαι, ὅτι ἔχει ὥσπερ λέγεις, ἔνδειξαι.

ΣΩ. Ἀλλ' ἔστι μὲν οὐ ῥᾴδιον, ὅμως δὲ ἐθέλω προθυμηθῆναι σοῦ ἕνεκεν. ἀλλά μοι προσκάλεσον τῶν πολλῶν ἀκολούθων τουτωνὶ τῶν σαυτοῦ ἕνα, ὅντινα βούλει, ἵνα ἐν τούτῳ σοι ἐπιδείξωμαι.

MEN. Πάνυ γε. δεῦρο πρόσελθε.

ΣΩ. Ἕλλην μέν ἐστι καὶ ἑλληνίζει;

MEN. Πάνυ γε σφόδρα, οἰκογενής.


ΣΩ. Πρόσεχε δὴ τὸν νοῦν, ὁπότερ' ἄν σοι φαίνηται, ἢ ἀναμιμνησκόμενος ἢ μανθάνων παρ' ἐμοῦ.

ΜΕΝ. Ἀλλὰ προσέξω.

ΣΩ. Εἰπὲ δή μοι, ὦ παῖ, γιγνώσκεις τετράγωνον χωρίον ὅτι τοιοῦτόν ἐστιν;

ΠΑΙ. Ἔγωγε.

ΣΩ. Ἔστιν οὖν τετράγωνον χωρίον ἴσας ἔχον τὰς γραμμὰς ταύτας πάσας, τέτταρας οὔσας;



ΠΑΙ. Πάνυ γε.

ΣΩ. Οὐ καὶ ταυτασὶ τὰς διὰ μέσου ἐστὶν ἴσας ἔχον;

ΠΑΙ. Ναί.

ΣΩ. Οὐκοῦν εἴη ἂν τοιοῦτον χωρίον καὶ μεῖζον καὶ ἔλαττον;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Εἰ οὖν εἴη αὕτη ἡ πλευρὰ δυοῖν ποδοῖν καὶ αὕτη δυοῖν, πόσων ἂν εἴη ποδῶν τὸ ὅλον; ὧδε δὲ σκόπει· εἰ ἦν ταύτῃ δυοῖν ποδοῖν, ταύτῃ δὲ ἑνὸς ποδὸς μόνον, ἄλλο τι ἅπαξ ἂν ἦν δυοῖν ποδοῖν τὸ χωρίον;

ΠΑΙ. Ναί.

ΣΩ. Ἐπειδὴ δὲ δυοῖν ποδοῖν καὶ ταύτῃ, ἄλλο τι ἢ δὶς δυοῖν γίγνεται;

ΠΑΙ. Γίγνεται.

ΣΩ. Δυοῖν ἄρα δὶς γίγνεται ποδῶν;

ΠΑΙ. Ναί.

ΣΩ. Πόσοι οὖν εἰσὶν οἱ δύο δὶς πόδες; λογισάμενος εἰπέ.

ΠΑΙ. Τέτταρες, ὦ Σώκρατες.

ΣΩ. Οὐκοῦν γένοιτ' ἂν τούτου τοῦ χωρίου ἕτερον διπλάσιον, τοιοῦτον δέ, ἴσας ἔχον πάσας τὰς γραμμὰς ὥσπερ τοῦτο;

ΠΑΙ. Ναί.

ΣΩ. Πόσων οὖν ἔσται ποδῶν;

ΠΑΙ. Ὀκτώ.

ΣΩ. Φέρε δή, πειρῶ μοι εἰπεῖν πηλίκη τις ἔσται ἐκείνου ἡ γραμμὴ ἑκάστη; ἡ μὲν γὰρ τοῦδε δυοῖν ποδοῖν· τί δὲ ἡ ἐκείνου τοῦ διπλασίου;

ΠΑΙ. Δῆλον δή, ὦ Σώκρατες, ὅτι διπλασία.

ΣΩ. Ὁρᾷς, ὦ Μένων, ὡς ἐγὼ τοῦτον οὐδὲν διδάσκω, ἀλλ' ἐρωτῶ πάντα; καὶ νῦν οὗτος οἴεται εἰδέναι, ὁποία ἐστὶν ἀφ' ἧς τὸ ὀκτώπουν χωρίον γενήσεται· ἢ οὐ δοκεῖ σοι;

ΜΕΝ. Ἔμοιγε.

ΣΩ. Οἶδεν οὖν;

ΜΕΝ. Οὐ δῆτα.

ΣΩ. Οἴεται δέ γε ἀπὸ τῆς διπλασίας;

ΜΕΝ. Ναί.

ΣΩ. Θεῶ δὴ αὐτὸν ἀναμιμνησκόμενον ἐφεξῆς, ὡς δεῖ ἀναμιμνῄσκεσθαι. σὺ δέ μοι λέγε· ἀπὸ τῆς διπλασίας γραμμῆς φῂς τὸ διπλάσιον χωρίον γίγνεσθαι; τοιόνδε λέγω, μὴ ταύτῃ μὲν μακρόν, τῇ δὲ βραχύ, ἀλλὰ ἴσον πανταχῇ ἔστω ὥσπερ τουτί, διπλάσιον δὲ τούτου, ὀκτώπουν. ἀλλ' ὅρα, εἰ ἔτι σοι ἀπὸ τῆς διπλασίας δοκεῖ ἔσεσθαι.

ΠΑΙ. Ἔμοιγε.

ΣΩ. Οὐκοῦν διπλασία αὕτη ταύτης γίγνεται, ἂν ἑτέραν τοσαύτην προσθῶμεν ἐνθένδε;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Ἀπὸ ταύτης δή, φῄς; ἔσται τὸ ὀκτώπουν χωρίον, ἂν τέτταρες τοσαῦται γένωνται;

ΠΑΙ. Ναί.

ΣΩ. Ἀναγραψώμεθα δὴ ἀπ᾽ αὐτῆς ἴσας τέτταρας. ἄλλο τι ἢ τουτὶ ἂν εἴη ὃ φῂς τὸ ὀκτώπουν εἶναι;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ἐν αὐτῷ ἐστὶ ταυτὶ τέτταρα, ὧν ἕκαστον ἴσον τούτῳ ἐστὶ τῷ τετράποδι;

ΠΑΙ. Ναί.

ΣΩ. Πόσον οὖν γίγνεται; οὐ τετράκις τοσοῦτον;

ΠΑΙ. Πῶς δ᾽ οὔ;

ΣΩ. Διπλάσιον οὖν ἐστὶ τὸ τετράκις τοσοῦτον;

ΠΑΙ. Οὐ μὰ Δία.

ΣΩ. Ἀλλὰ ποσαπλάσιον;

ΠΑΙ. Τετραπλάσιον.

ΣΩ. Ἀπὸ τῆς διπλασίας ἄρα, ὦ παῖ, οὐ διπλάσιον ἀλλὰ τετραπλάσιον γίγνεται χωρίον.

ΠΑΙ. Ἀληθῆ λέγεις.

ΣΩ. Τεττάρων γὰρ τετράκις ἐστὶν ἑκκαίδεκα· οὐχί;

ΠΑΙ. Ναί.

ΣΩ. Ὀκτώπουν δ᾽ ἀπὸ ποίας γραμμῆς; οὐχὶ ἀπὸ μὲν ταύτης τετραπλάσιον;

ΠΑΙ. Φημί.

ΣΩ. Τετράπουν δὲ ἀπὸ τῆς ἡμισέας ταυτησὶ τουτί;

ΠΑΙ. Ναί.

ΣΩ. Εἶεν· τὸ δὲ ὀκτώπουν οὐ τοῦδε μὲν διπλάσιόν ἐστι, τούτου δὲ ἥμισυ;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Οὐκ ἀπὸ μὲν μείζονος ἔσται ἢ τοσαύτης γραμμῆς, ἀπὸ ἐλάττονος δὲ ἢ τοσησδί; ἢ οὔ;

ΠΑΙ. Ἔμοιγε δοκεῖ οὕτως.

ΣΩ. Καλῶς· τὸ γάρ σοι δοκοῦν τοῦτο ἀποκρίνου. καί μοι λέγε· οὐχ ἥδε μὲν δυοῖν ποδοῖν ἦν, ἡ δὲ τεττάρων;

ΠΑΙ. Ναί.

ΣΩ. Δεῖ ἄρα τὴν τοῦ ὀκτώποδος χωρίου γραμμὴν μείζω μὲν εἶναι τῆσδε τῆς δίποδος, ἐλάττω δὲ τῆς τετράποδος.

ΠΑΙ. Δεῖ.

ΣΩ. Πειρῶ δὴ λέγειν πηλίκην τινὰ φῂς αὐτὴν εἶναι.

ΠΑΙ. Τρίποδα.

ΣΩ. Οὐκοῦν ἄνπερ τρίπους ᾖ, τὸ ἥμισυ ταύτης προσληψόμεθα καὶ ἔσται τρίπους; δύο μὲν γὰρ οἵδε, ὁ δὲ εἷς· καὶ ἐνθένδε ὡσαύτως δύο μὲν οἵδε, ὁ δὲ εἷς· καὶ γίγνεται τοῦτο τὸ χωρίον ὃ φῄς.

ΠΑΙ. Ναί.

ΣΩ. Οὐκοῦν ἂν ᾖ τῇδε τριῶν καὶ τῇδε τριῶν, τὸ ὅλον χωρίον τριῶν τρὶς ποδῶν γίγνεται;

ΠΑΙ. Φαίνεται.

ΣΩ. Τρεῖς δὲ τρὶς πόσοι εἰσὶ πόδες;

ΠΑΙ. Ἐννέα.

ΣΩ. Ἔδει δὲ τὸ διπλάσιον πόσων εἶναι ποδῶν;

ΠΑΙ. Ὀκτώ.

ΣΩ. Οὐδ' ἄρα ἀπὸ τῆς τρίποδός πω τὸ ὀκτώπουν χωρίον γίγνεται.

ΠΑΙ. Οὐ δῆτα.

ΣΩ. Ἀλλ' ἀπὸ ποίας; πειρῶ ἡμῖν εἰπεῖν ἀκριβῶς· καὶ εἰ μὴ βούλει ἀριθμεῖν, ἀλλὰ δεῖξον ἀπὸ ποίας.

ΠΑΙ. Ἀλλὰ μὰ τὸν Δία Σώκρατες, ἔγωγε οὐκ οἶδα.

ΣΩ. Ἐννοεῖς αὖ, ὦ Μένων, οὗ ἐστὶν ἤδη βαδίζων ὅδε τοῦ ἀναμιμνῄσκεσθαι; ὅτι τὸ μὲν πρῶτον ᾔδει μὲν οὔ, ἥ τις ἔστιν ἡ τοῦ ὀκτώποδος χωρίου γραμμή, ὥσπερ οὐδὲ νῦν πω οἶδεν, ἀλλ' οὖν ᾤετό γ' αὐτὴν τότε εἰδέναι, καὶ θαρραλέως ἀπεκρίνετο ὡς εἰδώς, καὶ οὐχ ἡγεῖτο ἀπορεῖν· νῦν δὲ ἡγεῖται ἀπορεῖν ἤδη, καὶ ὥσπερ οὐκ οἶδεν, οὐδ' οἴεται εἰδέναι.

ΜΕΝ. Ἀληθῆ λέγεις.

ΣΩ. Οὐκοῦν νῦν βέλτιον ἔχει περὶ τὸ πρᾶγμα ὃ οὐκ ᾔδει;

ΜΕΝ. Καὶ τοῦτό μοι δοκεῖ.

ΣΩ. Ἀπορεῖν οὖν αὐτὸν ποιήσαντες καὶ ναρκᾶν ὥσπερ ἡ νάρκη, μῶν τι ἐβλάψαμεν;

ΜΕΝ. Οὐκ ἔμοιγε δοκεῖ.

ΣΩ. Προὔργου γοῦν τι πεποιήκαμεν, ὡς ἔοικε, πρὸς τὸ ἐξευρεῖν ὅπῃ ἔχει· νῦν μὲν γὰρ καὶ ζητήσειεν ἂν ἡδέως οὐκ εἰδώς, τότε δὲ ῥᾳδίως ἂν καὶ πρὸς πολλοὺς καὶ πολλάκις ᾤετ' ἂν εὖ λέγειν περὶ τοῦ διπλασίου χωρίου, ὡς δεῖ διπλασίαν τὴν γραμμὴν ἔχειν μήκει.

ΜΕΝ. Ἔοικεν.

ΣΩ. Οἴει οὖν ἂν αὐτὸν πρότερον ἐπιχειρῆσαι ζητεῖν ἢ μανθάνειν τοῦτο, ὃ ᾤετο εἰδέναι οὐκ εἰδώς, πρὶν εἰς ἀπορίαν κατέπεσεν ἡγησάμενος μὴ εἰδέναι, καὶ ἐπόθησε τὸ εἰδέναι;

ΜΕΝ. Οὔ μοι δοκεῖ, ὦ Σώκρατες.

ΣΩ. Ὤνητο ἄρα ναρκήσας;

ΜΕΝ. Δοκεῖ μοι.

ΣΩ. Σκέψαι δὴ ἐκ ταύτης τῆς ἀπορίας ὅ τι καὶ ἀνευρήσει ζητῶν μετ' ἐμοῦ, οὐδὲν ἀλλ' ἢ ἐρωτῶντος ἐμοῦ καὶ οὐ διδάσκοντος· φύλαττε δὲ ἄν που εὕρῃς με διδάσκοντα καὶ διεξιόντα αὐτῷ, ἀλλὰ μὴ τὰς τούτου δόξας ἀνερωτῶντα. λέγε γάρ μοι σύ· οὐ τὸ μὲν τετράπουν τοῦτο ἡμῖν ἐστὶ χωρίον; μανθάνεις;

ΠΑΙ. Ἔγωγε.

ΣΩ. Ἕτερον δὲ αὐτῷ προσθεῖμεν ἂν τουτὶ ἴσον;

ΠΑΙ. Ναί.

ΣΩ. Καὶ τρίτον τόδε ἴσον ἑκατέρῳ τούτων;

ΠΑΙ. Ναί.

ΣΩ. Οὐκοῦν προσαναπληρωσαίμεθ' ἂν τὸ ἐν τῇ γωνίᾳ τόδε;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Ἄλλο τι οὖν γένοιτ' ἂν τέτταρα ἴσα χωρία τάδε;

ΠΑΙ. Ναί.

ΣΩ. Τί οὖν; τὸ ὅλον τόδε ποσαπλάσιον τοῦδε γίγνεται;

ΠΑΙ. Τετραπλάσιον.

ΣΩ. Ἔδει δὲ διπλάσιον ἡμῖν γενέσθαι· ἢ οὐ μέμνησαι;

ΠΑΙ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ἐστιν αὕτη γραμμὴ ἐκ γωνίας εἰς γωνίαν τείνουσα, τέμνουσα δίχα ἕκαστον τούτων τῶν χωρίων;

ΠΑΙ. Ναί.

ΣΩ. Οὐκοῦν τέτταρες αὗται γίγνονται γραμμαὶ ἴσαι, περιέχουσαι τουτὶ τὸ χωρίον;

ΠΑΙ. Γίγνονται.

ΣΩ. Σκόπει δή· πηλίκον τί ἐστι τοῦτο τὸ χωρίον;

ΠΑΙ. Οὐ μανθάνω.

ΣΩ. Οὐχὶ τεττάρων ὄντων τούτων ἥμισυ ἑκάστου ἑκάστη ἡ γραμμὴ ἀποτέτμηκεν ἐντός; ἢ οὔ;

ΠΑΙ. Ναί.

ΣΩ. Πόσα οὖν τηλικαῦτα ἐν τούτῳ ἔνεστιν;

ΠΑΙ. Τέτταρα.

ΣΩ. Πόσα δὲ ἐν τῷδε;

ΠΑΙ. Δύο.

ΣΩ. Τὰ δὲ τέτταρα τοῖν δυοῖν τί ἐστιν;

ΠΑΙ. Διπλάσια.

ΣΩ. Τόδε οὖν ποσάπουν γίγνεται;

ΠΑΙ. Ὀκτώπουν.

ΣΩ. Ἀπὸ ποίας γραμμῆς;

ΠΑΙ. Ἀπὸ ταύτης.

ΣΩ. Ἀπὸ τῆς ἐκ γωνίας εἰς γωνίαν τεινούσης τοῦ τετράποδος;

ΠΑΙ. Ναί.

ΣΩ. Καλοῦσι δέ γε ταύτην διάμετρον οἱ σοφισταί· ὥστ' εἰ ταύτῃ διάμετρος ὄνομα, ἀπὸ τῆς διαμέτρου ἄν, ὡς σὺ φῄς, ὦ παῖ Μένωνος, γίγνοιτ' ἂν τὸ διπλάσιον χωρίον.

ΠΑΙ. Πάνυ μὲν οὖν, ὦ Σώκρατες.

Plato, *Meno* 81 D.

72

EUCLID I. I

ἐπὶ τῆς δοθείσης εὐθείας πεπερασμένης τρίγωνον ἰσόπλευρον συστήσασθαι.


ἔστω ἡ δοθεῖσα εὐθεῖα πεπερασμένη ἡ ΑΒ. *δεῖ δὴ ἐπὶ τῆς* ΑΒ *εὐθείας τρίγωνον ἰσόπλευρον συστήσασθαι.*

κέντρῳ μὲν τῷ Α, *διαστήματι δὲ τῷ* ΑΒ, *κύκλος γεγράφθω ὁ* ΒΓΔ, *καὶ πάλιν κέντρῳ μὲν τῷ* Β, *διαστήματι δὲ τῷ* ΒΑ, *κύκλος γεγράφθω ὁ* ΑΓΕ, *καὶ ἀπὸ τοῦ* Γ *σημείου, καθ' ὃ τέμνουσιν ἀλλήλους οἱ κύκλοι, ἐπὶ τὰ* Α, Β *σημεῖα ἐπεζεύχθωσαν εὐθεῖαι αἱ* ΓΑ, ΓΒ.

καὶ ἐπεὶ τὸ Α *σημεῖον κέντρον ἐστὶ τοῦ* ΓΔΒ *κύκλου, ἴση ἐστὶν ἡ* ΑΓ *τῇ* ΑΒ· *πάλιν, ἐπεὶ τὸ* Β *σημεῖον κέντρον ἐστὶ τοῦ* ΓΑΕ *κύκλου, ἴση ἐστὶν ἡ* ΒΓ *τῇ* ΒΑ. *ἐδείχθη δὲ καὶ ἡ* ΓΑ *τῇ* ΑΒ *ἴση*·

ἑκατέρα ἄρα τῶν ΓΑ, ΓΒ τῇ ΑΒ ἐστὶν ἴση. τὰ δὲ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα· καὶ ἡ ΓΑ ἄρα τῇ ΓΒ ἐστὶν ἴση· αἱ τρεῖς ἄρα αἱ ΓΑ, ΑΒ, ΒΓ ἴσαι ἀλλήλαις εἰσίν.

ἰσόπλευρον ἄρα ἐστὶν τὸ ΑΒΓ τρίγωνον, καὶ συνέσταται ἐπὶ τῆς δοθείσης εὐθείας πεπερασμένης τῆς ΑΒ· ὅπερ ἔδει ποιῆσαι.



73

A Doughty Pair

Crito—Socrates

ΚΡ. Τίς ἦν, ὦ Σώκρατες, ᾧ χθὲς ἐν Λυκείῳ διελέγου; ἦ πολὺς ὑμᾶς ὄχλος περιεστήκει, ὥστ' ἔγωγε βουλόμενος ἀκούειν προσελθὼν οὐδὲν οἷός τ' ἦν ἀκοῦσαι σαφές· ὑπερκύψας μέντοι κατεῖδον, καί μοι ἔδοξεν εἶναι ξένος τις, ᾧ διελέγου. τίς ἦν;

ΣΩ. Πότερον καὶ ἐρωτᾷς, ὦ Κρίτων; οὐ γὰρ εἷς, ἀλλὰ δύο ἤστην.

ΚΡ. Ὃν μὲν ἐγὼ λέγω, ἐκ δεξιᾶς τρίτος ἀπὸ σοῦ καθῆστο· ἐν μέσῳ δ' ὑμῶν τὸ Ἀξιόχου μειράκιον ἦν. καὶ μάλα πολύ, ὦ Σώκρατες, ἐπιδεδωκέναι μοι ἔδοξε, καὶ τοῦ ἡμετέρου οὐ πολύ τι τὴν ἡλικίαν διαφέρειν Κριτοβούλου. ἀλλ' ἐκεῖνος μὲν σκληφρός, οὗτος δὲ προφερὴς καὶ καλὸς καὶ ἀγαθὸς τὴν ὄψιν.

ΣΩ. Εὐθύδημος οὗτός ἐστιν, ὦ Κρίτων, ὃν ἐρωτᾷς· ὁ δὲ παρ' ἐμὲ καθήμενος ἐξ ἀριστερᾶς ἀδελφὸς τούτου, Διονυσόδωρος· μετέχει δὲ καὶ οὗτος τῶν λόγων.

ΚΡ. Οὐδέτερον γιγνώσκω, ὦ Σώκρατες. καινοί τινες αὖ οὗτοι, ὡς ἔοικε, σοφισταί· ποδαποί; καὶ τίς ἡ σοφία;

ΣΩ. Οὗτοι τὸ μὲν γένος, ὡς ἐγᾦμαι, ἐντεῦθέν ποθέν εἰσιν ἐκ Χίου, ἀπῴκησαν δὲ ἐς Θουρίους, φεύγοντες δὲ ἐκεῖθεν πόλλ' ἤδη ἔτη περὶ τούσδε τοὺς τόπους διατρίβουσιν· ὃ δὲ σὺ ἐρωτᾷς τὴν σοφίαν αὐτοῖν, θαυμασία, ὦ Κρίτων· πάνσοφοι ἀτεχνῶς τώ γε, οὐδ' ᾔδη πρὸ τοῦ, ὅ τι εἶεν οἱ παγκρατιασταί. τούτω γάρ ἐστον κομιδῇ παμμάχω, οὐ κατὰ τὼ Ἀκαρνᾶνε τὼ παγκρατιαστὰ ἀδελφώ· ἐκείνω μὲν γὰρ τῷ σώματι μόνον οἵω τε μάχεσθαι ἐγενέσθην· τούτω δὲ πρῶτον μὲν τῷ σώματι δεινοτάτω ἐστὸν καὶ μάχῃ, ᾗ πάντων ἔστι κρατεῖν· ἐν ὅπλοις γὰρ αὐτώ τε σοφὼ πάνυ μάχεσθαι, καὶ ἄλλον, ὃς ἂν διδῷ μισθόν, οἵω τε ποιῆσαι· ἔπειτα τὴν ἐν τοῖς δικαστηρίοις μάχην κρατίστω, καὶ ἀγωνίσασθαι, καὶ ἄλλον διδάξαι λέγειν τε καὶ συγγράφεσθαι λόγους οἵους εἰς τὰ δικαστήρια. πρὸ τοῦ μὲν οὖν ταῦτα δεινὼ ἤστην μόνον, νῦν δὲ τέλος ἐπιτεθήκατον παγκρατιαστικῇ τέχνῃ. ἣ γὰρ ἦν λοιπὴ αὐτοῖν μάχη ἀργός, ταύτην νῦν ἐξείργασθον, ὥστε μηδ' ἂν ἕνα αὐτοῖς οἷόν τ' εἶναι μηδ' ἀντᾶραι· οὕτω δεινὼ γεγόνατον ἐν τοῖς λόγοις μάχεσθαί τε καὶ ἐξελέγχειν τὸ ἀεὶ λεγόμενον, ὁμοίως ἐάν τε ψεῦδος ἐάν τε ἀληθὲς ᾖ. ἐγὼ μὲν οὖν, ὦ Κρίτων, ἐν νῷ ἔχω τοῖν ἀνδροῖν παραδοῦναι ἐμαυτόν· καὶ γάρ φατον ἐν ὀλίγῳ χρόνῳ ποιῆσαι ἂν καὶ ἄλλον ὁντινοῦν τὰ αὐτὰ ταῦτα δεινόν.

ΚΡ. Τί δέ, ὦ Σώκρατες; οὐ φοβεῖ τὴν ἡλικίαν, μὴ ἤδη πρεσβύτερος ᾖς;

ΣΩ. Ἥκιστά γε, ὦ Κρίτων· ἱκανὸν τεκμήριον ἔχω

καὶ παραμύθιον τοῦ μὴ φοβεῖσθαι. αὐτὼ γὰρ τούτω, ὡς ἔπος εἰπεῖν, γέροντε ὄντε ἠρξάσθην ταύτης τῆς σοφίας, ἧς ἔγωγε ἐπιθυμῶ, τῆς ἐριστικῆς· πέρυσι δὲ ἢ προπέρυσιν οὐδέπω ἤστην σοφώ. ἀλλ' ἐγὼ ἓν μόνον φοβοῦμαι, μὴ αὖ ὄνειδος τοῖν ξένοιν περιάψω, ὥσπερ Κόννῳ τῷ Μητροβίου, τῷ κιθαριστῇ, ὃς ἐμὲ διδάσκει ἔτι καὶ νῦν κιθαρίζειν· ὁρῶντες οὖν οἱ παῖδες οἱ συμφοιτηταί μου ἐμοῦ τε καταγελῶσι καὶ τὸν Κόννον γεροντοδιδάσκαλον. μὴ οὖν καὶ τοῖν ξένοιν τις ταὐτὸ τοῦτο ὀνειδίσῃ· οἱ δ' αὐτὸ τοῦτο ἴσως φοβούμενοι τάχα με οὐκ ἂν ἐθέλοιεν προσδέξασθαι. ἐγὼ δ', ὦ Κρίτων, ἐκεῖσε μὲν ἄλλους πέπεικα συμμαθητάς μοι φοιτᾶν πρεσβύτας, ἐνταῦθα δέ γε ἑτέρους πειράσομαι πείθειν, καὶ σὺ τί που συμφοίτα· ἴσως δὲ δέλεαρ αὐτοῖς ἕξομεν τοὺς σοὺς υἱεῖς· ἐφιέμενοι γὰρ ἐκείνων οἶδ' ὅτι καὶ ἡμᾶς παιδεύσουσιν.

ΚΡ. Ἀλλ' οὐδὲν κωλύει, ὦ Σώκρατες, ἐάν γε σοὶ δοκῇ. πρῶτον δέ μοι διήγησαι τὴν σοφίαν τοῖν ἀνδροῖν, τίς ἐστιν; ἵνα εἰδῶ, ὅ τι καὶ μαθησόμεθα.

ΣΩ. Οὐκ ἂν φθάνοις ἀκούων· ὡς οὐκ ἂν ἔχοιμί γε εἰπεῖν, ὅτι οὐ προσεῖχον τὸν νοῦν αὐτοῖν, ἀλλὰ πάνυ καὶ προσεῖχον καὶ μέμνημαι, καί σοι πειράσομαι ἐξ ἀρχῆς ἅπαντα διηγήσασθαι. κατὰ θεὸν γάρ τινα ἔτυχον καθήμενος ἐνταῦθα, οὗπερ σύ με εἶδες, ἐν τῷ ἀποδυτηρίῳ μόνος, καὶ ἤδη ἐν νῷ εἶχον ἀναστῆναι· ἀνισταμένου δέ μου ἐγένετο τὸ εἰωθὸς σημεῖον τὸ δαιμόνιον. πάλιν οὖν ἐκαθεζόμην, καὶ ὀλίγῳ ὕστερον εἰσέρχεσθον τούτω, ὅ τ' Εὐθύδημος καὶ ὁ Διονυσόδωρος, καὶ ἄλλοι μαθηταὶ ἅμα οὐ πολλοί, ἐμοὶ δοκεῖν· εἰσελθόντες δὲ περιεπατείτην ἐν τῷ καταστέγῳ δρόμῳ. καὶ οὔπω τούτω δύ' ἢ τρεῖς δρόμους περιεληλυθότε ἤστην, καὶ εἰσέρχεται Κλεινίας, ὃν σὺ φῂς πολὺ ἐπιδεδωκέναι, ἀληθῆ λέγων· ὄπισθεν δὲ αὐτοῦ φίλοι πάνυ πολλοί τε καὶ ἄλλοι καὶ Κτήσιππος, νεανίσκος

τις Παιανιεύς, μάλα καλός τε κἀγαθὸς τὴν φύσιν, ὅσον μὴ ὑβριστὴς διὰ τὸ νέος εἶναι. ἰδὼν οὖν με ὁ Κλεινίας ἀπὸ τῆς εἰσόδου μόνον καθήμενον, ἄντικρυς ἰὼν παρεκαθέζετο ἐκ δεξιᾶς, ὥσπερ καὶ σὺ φῄς· ἰδόντες δὲ αὐτὸν ὅ τε Διονυσόδωρος καὶ ὁ Εὐθύδημος πρῶτον μὲν ἐπιστάντε διελεγέσθην ἀλλήλοιν, ἄλλην καὶ ἄλλην ἀποβλέποντες εἰς ἡμᾶς· καὶ γὰρ πάνυ αὐτοῖν προσεῖχον τὸν νοῦν. ἔπειτα ἰόντε ὁ μὲν παρὰ τὸ μειράκιον ἐκαθέζετο, ὁ Εὐθύδημος, ὁ δὲ παρ' αὐτὸν ἐμὲ ἐν ἀριστερᾷ· οἱ δ' ἄλλοι ὡς ἕκαστος ἐτύγχανεν. ἠσπαζόμην οὖν αὐτὼ ἅτε διὰ χρόνου ἑορακώς· μετὰ δὲ τοῦτον εἶπον πρὸς τὸν Κλεινίαν, Ὦ Κλεινία, τώδε μέντοι τὼ ἄνδρε σοφώ, Εὐθύδημός τε καὶ Διονυσόδωρος, οὐ τὰ σμικρά, ἀλλὰ τὰ μεγάλα· τὰ γὰρ περὶ τὸν πόλεμον πάντα ἐπίστασθον, ὅσα δεῖ τὸν μέλλοντα στρατηγὸν ἔσεσθαι, τάς τε τάξεις καὶ τὰς ἡγεμονίας τῶν στρατοπέδων καὶ ὅσα ἐν ὅπλοις μάχεσθαι διδακτέον· οἵω τε δὲ καὶ ποιῆσαι δυνατὸν εἶναι αὐτὸν αὑτῷ βοηθεῖν ἐν τοῖς δικαστηρίοις, ἄν τις αὐτὸν ἀδικῇ. εἰπὼν οὖν ταῦτα κατεφρονήθην ὑπ' αὐτοῖν· ἐγελασάτην οὖν ἄμφω βλέψαντες εἰς ἀλλήλους, καὶ ὁ Εὐθύδημος εἶπεν· Οὔτοι ἔτι ταῦτα, ὦ Σώκρατες, σπουδάζομεν, ἀλλὰ παρέργοις αὐτοῖς χρώμεθα. κἀγὼ θαυμάσας εἶπον· Καλὸν ἄν τι τὸ ἔργον ὑμῶν εἴη εἰ τηλικαῦτα πράγματα πάρεργα ὑμῖν τυγχάνει ὄντα, καὶ πρὸς θεῶν εἴπετόν μοι, τί ἐστι τοῦτο τὸ καλόν. Ἀρετήν, ἔφη, ὦ Σώκρατες, οἰόμεθα οἵω τ' εἶναι παραδοῦναι κάλλιστ' ἀνθρώπων καὶ τάχιστα.

Ὦ Ζεῦ, οἷον, ἦν δ' ἐγώ, λέγετον πρᾶγμα· πόθεν τοῦτο τὸ ἕρμαιον εὑρέτην; ἐγὼ δὲ περὶ ὑμῶν διενοούμην ἔτι, ὥσπερ νῦν δὴ ἔλεγον, ὡς τὸ πολὺ τοῦτο δεινοῖν ὄντοιν, ἐν ὅπλοις μάχεσθαι, καὶ ταῦτ' ἔλεγον περὶ σφῶν· ὅτε γὰρ τὸ πρότερον ἐπεδημησάτην, τοῦτο μέμνημαι σφὼ ἐπαγγελλομένω. εἰ δὲ νῦν ἀληθῶς

ταύτην τὴν ἐπιστήμην ἔχετον, ἵλεω εἴητον· ἀτεχνῶς γὰρ ἔγωγε σφὼ ὥσπερ θεὼ προσαγορεύω, συγγνώμην δεόμενος ἔχειν μοι τῶν ἔμπροσθεν εἰρημένων. ἀλλ' ὁρᾶτον, ὦ Εὐθύδημέ τε καὶ Διονυσόδωρε, εἰ ἀληθῆ ἐλέγετον· ὑπὸ γὰρ τοῦ μεγέθους τοῦ ἐπαγγέλματος οὐδὲν θαυμαστὸν ἀπιστεῖν. 'Αλλ' εὖ ἴσθι, ὦ Σώκρατες, ἐφάτον, τοῦτο οὕτως ἔχον. Μακαρίζω ἄρ' ὑμᾶς ἔγωγε τοῦ κτήματος πολὺ μᾶλλον ἢ μέγαν βασιλέα τῆς ἀρχῆς· τοσόνδε δέ μοι εἴπετον, εἰ ἐν νῷ ἔχετον ἐπιδεικνύναι ταύτην τὴν σοφίαν, ἢ πῶς σφῷν βεβούλευται. 'Επ' αὐτό γε τοῦτο πάρεσμεν, ὦ Σώκρατες, ὡς ἐπιδείξοντε καὶ διδάξοντε, ἐάν τις ἐθέλῃ μανθάνειν. 'Αλλ' ὅτι μὲν ἐθελήσουσιν ἅπαντες οἱ μὴ ἔχοντες, ἐγὼ ὑμῖν ἐγγυῶμαι, πρῶτος μὲν ἐγώ, ἔπειτα δὲ Κλεινίας οὑτοσί, πρὸς δ' ἡμῖν Κτήσιππός τε ὅδε καὶ οἱ ἄλλοι οὗτοι, ἦν δ' ἐγὼ δεικνὺς αὐτῷ τοὺς φίλους τοὺς Κλεινίου· οἱ δὲ ἐτύγχανον ἡμᾶς ἤδη περιιστάμενοι. ὁ γὰρ Κτήσιππος ἔτυχε πόρρω καθεζόμενος τοῦ Κλεινίου, ἐμοὶ δοκεῖν· ὡς δ' ἐτύγχανεν ὁ Εὐθύδημος ἐμοὶ διαλεγόμενος προνενευκὼς εἰς τὸ πρόσθεν, ἐν μέσῳ ὄντος ἡμῶν τοῦ Κλεινίου ἐπεσκότει τῷ Κτησίππῳ τῆς θέας· βουλόμενός τε οὖν θεάσασθαι ὁ Κτήσιππος καὶ ἅμα φιλήκοος ὢν ἀναπηδήσας πρῶτος προσέστη ἡμῖν ἐν τῷ καταντικρύ· οὕτως οὖν καὶ οἱ ἄλλοι ἐκεῖνον ἰδόντες περιέστησαν ἡμᾶς, οἵ τε τοῦ Κλεινίου φίλοι καὶ οἱ τοῦ Εὐθυδήμου τε καὶ Διονυσοδώρου ἑταῖροι. τούτους δὴ ἐγὼ δεικνὺς ἔλεγον τῷ Εὐθυδήμῳ, ὅτι πάντες ἕτοιμοι εἶεν μανθάνειν· ὅ τε οὖν Κτήσιππος συνέφη μάλα προθύμως καὶ οἱ ἄλλοι, καὶ ἐκέλευον αὐτὼ κοινῇ πάντες ἐπιδείξασθαι τὴν δύναμιν τῆς σοφίας.

τὰ δὴ μετὰ ταῦτα, ὦ Κρίτων, πῶς ἂν καλῶς σοι διηγησαίμην; οὐ γὰρ σμικρὸν τὸ ἔργον, δύνασθαι ἀναλαβεῖν διεξιόντα σοφίαν ἀμήχανον ὅσην· ὥστ'

ἔγωγε, καθάπερ οἱ ποιηταί, δέομαι ἀρχόμενος τῆς διηγήσεως Μούσας τε καὶ Μνήμην ἐπικαλεῖσθαι· ἤρξατο δ' οὖν ἐνθένδε ποθὲν ὁ Εὐθύδημος, ὡς ἐγῷμαι· Ὦ Κλεινία, πότεροί εἰσι τῶν ἀνθρώπων οἱ μανθάνοντες, οἱ σοφοὶ ἢ οἱ ἀμαθεῖς; καὶ τὸ μειράκιον, ἅτε μεγάλου ὄντος τοῦ ἐρωτήματος, ἠρυθρίασέ τε καὶ ἀπορήσας ἔβλεπεν εἰς ἐμέ· καὶ ἐγὼ γνοὺς αὐτὸν τεθορυβημένον, Θάρρει, ἦν δ' ἐγώ, ὦ Κλεινία, καὶ ἀπόκριναι ἀνδρείως, ὁπότερά σοι φαίνεται· ἴσως γάρ τοι ὠφελεῖ τὴν μεγίστην ὠφέλειαν. καὶ ἐν τούτῳ ὁ Διονυσόδωρος προσκύψας μοι σμικρὸν πρὸς τὸ οὖς, πάνυ μειδιάσας τῷ προσώπῳ, Καὶ μήν, ἔφη, σοί, ὦ Σώκρατες, προλέγω, ὅτι ὁπότερ' ἂν ἀποκρίνεται τὸ μειράκιον, ἐξελεγχθήσεται. καὶ αὐτοῦ μεταξὺ ταῦτα λέγοντος ὁ Κλεινίας ἔτυχεν ἀποκρινάμενος, ὥστε οὐδὲ παρακελεύσασθαί μοι ἐξεγένετο εὐλαβηθῆναι τῷ μειρακίῳ, ἀλλ' ἀπεκρίνατο, ὅτι οἱ σοφοὶ εἶεν οἱ μανθάνοντες. καὶ ὁ Εὐθύδημος, Καλεῖς δέ τινας, ἔφη, διδασκάλους, ἢ οὔ; ὡμολόγει. Οὐκοῦν τῶν μανθανόντων οἱ διδάσκαλοι διδάσκαλοί εἰσιν, ὥσπερ ὁ κιθαριστὴς καὶ ὁ γραμματιστὴς διδάσκαλοι δήπου ἦσαν σοῦ καὶ τῶν ἄλλων παίδων, ὑμεῖς δὲ μαθηταί; συνέφη. Ἄλλο τι οὖν, ἡνίκα ἐμανθάνετε, οὔπω ἠπίστασθε ταῦτα, ἃ ἐμανθάνετε; οὐκ ἔφη. Ἆρ' οὖν σοφοὶ ἦτε, ὅτε ταῦτα οὐκ ἠπίστασθε; Οὐ δῆτα, ἦ δ' ὅς. Οὐκοῦν εἰ μὴ σοφοί, ἀμαθεῖς; Πάνυ γε. Ὑμεῖς ἄρα μανθάνοντες ἃ οὐκ ἠπίστασθε, ἀμαθεῖς ὄντες ἐμανθάνετε. ἐπένευσε τὸ μειράκιον. Οἱ ἀμαθεῖς ἄρα σοφοὶ μανθάνουσιν, ὦ Κλεινία, ἀλλ' οὐχ οἱ σοφοί, ὡς σὺ οἴει. ταῦτ' οὖν εἰπόντος αὐτοῦ, ὥσπερ ὑπὸ διδασκάλου χορὸς ἀποσημήναντος, ἅμα ἀνεθορύβησάν τε καὶ ἐγέλασαν οἱ ἑπόμενοι ἐκεῖνοι μετὰ τοῦ Διονυσοδώρου τε καὶ Εὐθυδήμου· καὶ πρὶν ἀναπνεῦσαι καλῶς τε καὶ εὖ τὸ μειράκιον, ἐκδεξάμενος ὁ Διονυσόδωρος, Τί δέ, ὦ Κλεινία, ἔφη, ὁπότε ἀποστοματίζοι ὑμῖν ὁ

γραμματιστής, πότεροι ἐμάνθανον τῶν παίδων τὰ ἀποστοματιζόμενα, οἱ σοφοὶ ἢ οἱ ἀμαθεῖς; Οἱ σοφοί, ἔφη ὁ Κλεινίας. Οἱ σοφοὶ ἄρα μανθάνουσιν, ἀλλ' οὐχ οἱ ἀμαθεῖς, καὶ οὐκ ὀρθῶς ἄρτι Εὐθυδήμῳ ἀπεκρίνω.

ἐνταῦθα δὴ καὶ πάνυ ἐγέλασάν τε καὶ ἐθορύβησαν οἱ ἑταῖροι τοῖν ἀνδροῖν, ἀγασθέντες τῆς σοφίας αὐτοῖν· οἱ δ' ἄλλοι ἡμεῖς ἐκπεπληγμένοι ἐσιωπῶμεν. γνοὺς δὲ ἡμᾶς ὁ Εὐθύδημος ἐκπεπληγμένους, ἵν' ἔτι μᾶλλον θαυμάζοιμεν αὐτόν, οὐκ ἀνίει τὸ μειράκιον, ἀλλ' ἠρώτα, καὶ ὥσπερ οἱ ἀγαθοὶ ὀρχησταί, διπλᾶ ἔστρεφε τὰ ἐρωτήματα περὶ τοῦ αὐτοῦ, καὶ ἔφη· Πότερον γὰρ οἱ μανθάνοντες μανθάνουσιν ἃ ἐπίστανται ἢ ἃ μὴ ἐπίστανται; καὶ ὁ Διονυσόδωρος πάλιν μικρὸν πρός με ψιθυρίσας, Καὶ τοῦτ', ἔφη, ὦ Σώκρατες, ἕτερον τοιοῦτον, οἷον τὸ πρότερον. Ὦ Ζεῦ, ἔφην ἐγώ, ἦ μὴν καὶ τὸ πρότερόν γε καλὸν ὑμῖν ἐφάνη τὸ ἐρώτημα. Πάντ', ἔφη, ὦ Σώκρατες, τοιαῦτα ἡμεῖς ἐρωτῶμεν ἄφυκτα. Τοιγάρτοι, ἦν δ' ἐγώ, δοκεῖτέ μοι εὐδοκιμεῖν παρὰ τοῖς μαθηταῖς. ἐν δὲ τούτῳ ὁ μὲν Κλεινίας τῷ Εὐθυδήμῳ ἀπεκρίνατο, ὅτι μανθάνοιεν οἱ μανθάνοντες ἃ οὐκ ἐπίσταιντο· ὁ δὲ ἤρετο αὐτὸν διὰ τῶν αὐτῶν ὧνπερ τὸ πρότερον· Τί δέ; ἦ δ' ὅς, οὐκ ἐπίστασαι σὺ γράμματα; Ναί, ἔφη. Οὐκοῦν ἅπαντα; ὡμολόγει. Ὅταν οὖν τις ἀποστοματίζῃ ὁτιοῦν, οὐ γράμματα ἀποστοματίζει; ὡμολόγει. Οὐκοῦν ὧν τι σὺ ἐπίστασαι, ἔφη, ἀποστοματίζει, εἴπερ ταῦτα ἐπίστασαι; καὶ τοῦτο ὡμολόγει. Τί οὖν; ἦ δ' ὅς, ἆρα οὐ μανθάνεις ἅττ' ἂν ἀποστοματίζῃ τις, ὁ δὲ μὴ ἐπιστάμενος γράμματα μανθάνει; Οὔκ, ἀλλ', ἦ δ' ὅς, μανθάνω. Οὐκοῦν ἃ ἐπίστασαι, ἔφη, μανθάνεις, εἴ πέρ γε ἅπαντα τὰ γράμματα ἐπίστασαι. ὡμολόγησεν. Οὐκ ἄρα ὀρθῶς ἀπεκρίνω, ἔφη. καὶ οὔπω σφόδρα τι ταῦτα εἴρητο τῷ Εὐθυδήμῳ καὶ ὁ Διονυσόδωρος ὥσπερ σφαῖραν ἐκδεξάμενος τὸν λόγον πάλιν ἐστοχάζετο τοῦ μειρακίου,

καὶ εἶπεν· Ἐξαπατᾷ σε Εὐθύδημος, ὦ Κλεινία, εἰπὲ γάρ μοι, τὸ μανθάνειν οὐκ ἐπιστήμην ἐστὶ λαμβάνειν τοῦτο, οὗ ἄν τις μανθάνῃ; ὡμολόγει ὁ Κλεινίας. Τὸ δ' ἐπίστασθαι, ἦ δ' ὅς, ἄλλο τι ἢ ἔχειν ἐπιστήμην ἤδη ἐστίν; συνέφη. Τὸ ἄρα μὴ ἐπίστασθαι μήπω ἔχειν ἐπιστήμην ἐστίν; ὡμολόγει αὐτῷ. Πότερον οὖν εἰσιν οἱ λαμβάνοντες ὁτιοῦν οἱ ἔχοντες ἤδη ἢ οἳ ἂν μή; Οἳ ἂν μὴ ἔχωσιν. Οὐκοῦν ὡμολόγηκας εἶναι τούτων καὶ τοὺς μὴ ἐπισταμένους, τῶν μὴ ἐχόντων; κατένευσε. Τῶν λαμβανόντων ἄρ' εἰσὶν οἱ μανθάνοντες ἀλλ' οὐ τῶν ἐχόντων; συνέφη. Οἱ μὴ ἐπιστάμενοι ἄρα, ἔφη, μανθάνουσιν, ὦ Κλεινία, ἀλλ' οὐχ οἱ ἐπιστάμενοι.

Plato, *Euthydemus*, *init.*

74

An Adventure in Wonderland

ὡς δὲ τοῦ ὕδατος ἐψαύσαμεν, θαυμασίως ὑπερηδόμεθα καὶ ὑπερεχαίρομεν καὶ πᾶσαν εὐφροσύνην ἐκ τῶν παρόντων ἐποιούμεθα καὶ ἀποβάντες ἐνηχόμεθα· καὶ γὰρ ἔτυχε γαλήνη οὖσα καὶ εὐσταθοῦν τὸ πέλαγος. ἔοικε δὲ ἀρχὴ κακῶν μειζόνων γίγνεσθαι πολλάκις ἡ πρὸς τὸ βέλτιον μεταβολή· καὶ γὰρ ἡμεῖς δύο μόνας ἡμέρας ἐν εὐδίᾳ πλεύσαντες, τῆς τρίτης ὑποφαινούσης πρὸς ἀνίσχοντα τὸν ἥλιον ἄφνω ὁρῶμεν θηρία καὶ κήτη πολλὰ μὲν καὶ ἄλλα, ἓν δὲ μέγιστον ἁπάντων ὅσον σταδίων χιλίων καὶ πεντακοσίων τὸ μέγεθος. ἐπῄει δὲ κεχηνὸς καὶ πρὸ πολλοῦ ταράττον τὴν θάλατταν, ἀφρῷ τε περικλυζόμενον καὶ τοὺς ὀδόντας ἐκφαῖνον, ὀξεῖς δὲ πάντας ὥσπερ σκόλοπας καὶ λευκοὺς ὥσπερ ἐλεφαντίνους. ἡμεῖς μὲν οὖν τὸ ὕστατον ἀλλήλους προσειπόντες καὶ περιβαλόντες ἐμένομεν· τὸ δὲ ἤδη

παρῆν, καὶ ἀναρροφῆσαν ἡμᾶς αὐτῇ νηὶ κατέπιεν. οὐ μέντοι ἔφθη συναράξαι τοῖς ὀδοῦσιν, ἀλλὰ διὰ τῶν ἀραιωμάτων ἡ ναῦς ἐς τὸ ἔσω διεξέπεσεν. ἐπεὶ δὲ ἔνδον ἦμεν, τὸ μὲν πρῶτον σκότος ἦν καὶ οὐδὲν ἑωρῶμεν, ὕστερον δὲ αὐτοῦ ἀναχανόντος εἴδομεν κύτος μέγα καὶ πάντη πλατὺ καὶ ὑψηλόν, ἱκανὸν μυριάνδρῳ πόλει ἐνοικεῖν. ἔκειντο δὲ ἐν μέσῳ καὶ μικροὶ ἰχθύες καὶ ἄλλα πολλὰ θηρία συγκεκομμένα, καὶ πλοίων ἱστία καὶ ἄγκυραι, καὶ ἀνθρώπων ὀστέα καὶ φορτία, κατὰ μέσον δὲ καὶ γῆ καὶ λόφοι ἦσαν, ἐμοὶ δοκεῖν, ἐκ τῆς ἰλύος ἣν κατέπιε συνιζάνουσα. ὕλη γοῦν ἐπ᾽ αὐτῆς καὶ δένδρα παντοῖα ἐπεφύκει, καὶ λάχανα ἐβεβλαστήκει, καὶ ἐῴκει πάντα ἐξειργασμένοις. περίμετρον δὲ τῆς γῆς στάδιοι διακόσιοι καὶ τετταράκοντα. ἦν δὲ ἰδεῖν καὶ ὄρνεα τὰ θαλάττια, λάρους καὶ ἀλκύονας, ἐπὶ τῶν δένδρων νεοττεύοντα. τότε μὲν οὖν ἐπὶ πολὺ ἐδακρύομεν, ὕστερον δὲ ἀναστήσαντες τοὺς ἑταίρους τὴν μὲν ναῦν ὑπεστηρίξαμεν, αὐτοὶ δὲ τὰ πυρεῖα συντρίψαντες καὶ ἀνακαύσαντες δεῖπνον ἐκ τῶν παρόντων ἐποιούμεθα. παρέκειτο δὲ ἄφθονα καὶ παντοδαπὰ κρέα τῶν ἰχθύων καὶ ὕδωρ ἔτι εἴχομεν. τῇ ἐπιούσῃ δὲ διαναστάντες, εἴ ποτε ἀναχάνοι τὸ κῆτος, ἑωρῶμεν ἄλλοτε μὲν γῆν, ἄλλοτε δὲ ὄρη, ἄλλοτε δὲ μόνον τὸν οὐρανόν, πολλάκις δὲ καὶ νήσους· καὶ γὰρ ᾐσθανόμεθα φερομένου αὐτοῦ ὀξέως πρὸς πᾶν μέρος τῆς θαλάττης. ἐπεὶ δὲ ἤδη ἐθάδες τῇ διατριβῇ ἐγενόμεθα, λαβὼν ἑπτὰ τῶν ἑταίρων ἐβάδιζον ἐς τὴν ὕλην, περισκοπήσασθαι τὰ πάντα βουλόμενος. οὔπω δὲ ὅλους πέντε διελθὼν σταδίους εὗρον ἱερὸν Ποσειδῶνος, ὡς ἐδήλου ἡ ἐπιγραφή, καὶ μετ᾽ οὐ πολὺ καὶ τάφους πολλοὺς καὶ στήλας ἐπ᾽ αὐτῶν, πλησίον τε πηγὴν ὕδατος διαυγοῦς, ἔτι δὲ καὶ κυνὸς ὑλακὴν ἠκούομεν καὶ καπνὸς ἐφαίνετο πόρρωθεν καί τινα καὶ ἔπαυλιν εἰκάζομεν. σπουδῇ οὖν βαδίζοντες ἐφιστάμεθα πρεσβύτῃ καὶ νεανίσκῳ μάλα προθύμως

πρασιάν τινα ἐργαζομένοις καὶ ὕδωρ ἀπὸ τῆς πηγῆς ἐπ' αὐτὴν διοχετεύουσιν· ἡσθέντες οὖν ἅμα καὶ φοβηθέντες ἔστημεν· κἀκεῖνοι δὲ ταὐτὸν ἡμῖν ὡς τὸ εἰκὸς παθόντες ἄναυδοι παρεστήκεσαν· χρόνῳ δὲ ὁ πρεσβύτης ἔφη, Τίνες ἄρα ὑμεῖς ἐστε, ὦ ξένοι; πότερον, ἔφη, τῶν ἐναλιῶν δαιμόνων ἢ ἄνθρωποι δυστυχεῖς ἡμῖν παραπλήσιοι; καὶ γὰρ ἡμεῖς ἄνθρωποι ὄντες καὶ ἐν γῇ τραφέντες νῦν θαλάττιοι γεγόναμεν, καὶ συννηχόμεθα τῷ περιέχοντι τούτῳ θηρίῳ, οὐδ' ἃ πάσχομεν ἀκριβῶς εἰδότες· τεθνάναι μὲν γὰρ εἰκάζομεν, ζῆν δὲ πιστεύομεν. πρὸς ταῦτα κἀγὼ εἶπον· Καὶ ἡμεῖς σοι ἄνθρωποι νεήλυδες, ὦ πάτερ, αὐτῷ σκάφει πρῴην καταποθέντες. προήλθομεν δὲ νῦν βουλόμενοι μαθεῖν τὰ ἐν τῇ ὕλῃ ὡς ἔχει· πολλὴ γάρ τις καὶ λάσιος ἐφαίνετο. δαίμων δέ τις, ὡς ἔοικεν, ἡμᾶς ἤγαγε, σέ τε ὀψομένους καὶ εἰσομένους ὅτι οὐ μόνοι ἐν τῷδε καθείργμεθα τῷ θηρίῳ· ἀλλὰ φράσον γε ἡμῖν τὴν σαυτοῦ τύχην, ὅστις τε ὢν καὶ ὅπως δεῦρο εἰσῆλθες. ὁ δὲ οὐ πρότερον ἔφη ἐρεῖν οὐδὲ πεύσεσθαι παρ' ἡμῶν πρὶν ξενίων τῶν παρόντων μεταδοῦναι, καὶ λαβὼν ἡμᾶς ἦγεν ἐπὶ τὴν οἰκίαν. παραθεὶς δὲ ἡμῖν λάχανά τε καὶ ἀκρόδρυα καὶ ἰχθῦς, ἔτι δὲ καὶ οἶνον ἐγχέας, ἐπειδὴ ἱκανῶς ἐκορέσθημεν, ἐπυνθάνετο ἃ ἐπεπόνθειμεν· κἀγὼ πάντα ἑξῆς διηγησάμην, τόν τε χειμῶνα καὶ τὰ ἐν τῇ νήσῳ καὶ τὸν ἐν τῷ ἀέρι πλοῦν, καὶ τὸν πόλεμον, καὶ τὰ ἄλλα μέχρι τῆς ἐς τὸ κῆτος καταδύσεως. ὁ δὲ ὑπερθαυμάσας καὶ αὐτὸς ἐν μέρει τὰ καθ' ἑαυτὸν διεξῄει λέγων, Τὸ μὲν γένος εἰμί, ὦ ξένοι, Κύπριος, ὁρμηθεὶς δὲ κατ' ἐμπορίαν ἀπὸ τῆς πατρίδος μετὰ παιδός, ὃν ὁρᾶτε, καὶ ἄλλων πολλῶν οἰκετῶν ἔπλεον εἰς Ἰταλίαν, ποικίλον φόρτον κομίζων ἐπὶ νεὼς μεγάλης, ἣν ἐπὶ στόματι τοῦ κήτους διαλελυμένην ἴσως ἑωράκατε. μέχρι μὲν οὖν Σικελίας εὐτυχῶς διεπλεύσαμεν· ἐκεῖθεν δὲ ἁρπασθέντες ἀνέμῳ σφοδρῷ, τριταῖοι ἐς τὸν

ὠκεανὸν ἀπηνέχθημεν, ἔνθα τῷ κήτει περιτυχόντες καὶ καταποθέντες δύο ἡμεῖς μόνοι τῶν ἄλλων ἀποθανόντων ἐσώθημεν. θάψαντες δὲ τοὺς ἑταίρους καὶ ναὸν τῷ Ποσειδῶνι *δειμάμενοι τουτονὶ τὸν βίον ζῶμεν, λάχανα μὲν κηπεύοντες, ἰχθῦς δὲ σιτούμενοι καὶ ἀκρόδρυα. πολλὴ δέ, ὡς ὁρᾶτε, ἡ ὕλη, καὶ μὴν καὶ ἀμπέλους ἔχει πολλάς, ἀφ' ὧν ἥδιστος οἶνος γίγνεται· καὶ τὴν πηγὴν δὲ ἴσως εἴδετε καλλίστου καὶ ψυχροτάτου ὕδατος. εὐνὴν δὲ ἀπὸ τῶν φύλλων ποιούμεθα καὶ πῦρ ἄφθονον καίομεν καὶ ὄρνεα δὲ θηρεύομεν τὰ εἰσπετόμενα καὶ ζῶντας ἰχθῦς ἀγρεύομεν ἐξιόντες ἐπὶ τὰ βραγχία τοῦ θηρίου, ἔνθα καὶ λουόμεθα, ὁπόταν ἐπιθυμήσωμεν. καὶ μὴν καὶ λίμνη οὐ πόρρω ἐστὶν ἁλμυρὰ σταδίων εἴκοσι τὸ περίμετρον ἰχθῦς ἔχουσα παντοδαπούς, ἐν ᾗ καὶ νηχόμεθα καὶ πλέομεν ἐπὶ σκάφους μικροῦ, ὃ ἐγὼ ἐναυπηγησάμην. ἔτη δὲ ἡμῖν ἐστι τῆς καταπόσεως ταῦτα ἑπτὰ καὶ εἴκοσι. καὶ τὰ μὲν ἄλλα ἴσως φέρειν ἐδυνάμεθα, οἱ δὲ γείτονες ἡμῶν καὶ πάροικοι σφόδρα χαλεποὶ καὶ βαρεῖς εἰσιν, ἄμικτοί τε ὄντες καὶ ἄγριοι.* Ἦ *γάρ, ἔφην ἐγώ, καὶ ἄλλοι τινές εἰσιν ἐν τῷ κήτει;* Πολλοὶ *μέν, ἔφη, καὶ ἄξενοι καὶ τὰς μορφὰς ἀλλόκοτοι· τὰ μὲν γὰρ ἑσπέρια καὶ οὐραῖα τῆς ὕλης* Ταριχᾶνες *οἰκοῦσιν, ἔθνος ἐγχελυωπὸν καὶ καραβοπρόσωπον, μάχιμον καὶ θρασὺ καὶ ὠμοφάγον· τὰ δὲ τῆς ἑτέρας πλευρᾶς κατὰ τὸν δεξιὸν τοῖχον* Τριτωνομένδητες, *τὰ μὲν ἄνω ἀνθρώποις ἐοικότες, τὰ δὲ κάτω τοῖς γαλεώταις, ἧττον μέντοι ἄδικοί εἰσι τῶν ἄλλων· τὰ λαιὰ δὲ* Καρκινόχειρες *καὶ* Θυννοκέφαλοι *συμμαχίαν τε καὶ φιλίαν πρὸς ἑαυτοὺς πεποιημένοι· τὴν δὲ μεσόγαιαν νέμονται* Παγουρίδαι *καὶ* Ψηττόποδες, *γένος μάχιμον καὶ δρομικώτατον· τὰ ἑῷα δὲ πρὸς αὐτῷ τῷ στόματι τὰ μὲν πολλὰ ἔρημά ἐστι προσκλυζόμενα τῇ θαλάττῃ. ὅμως δὲ ἐγὼ ταῦτα ἔχω φόρον τοῖς* Ψηττόποσιν *ὑποτελῶν ἑκάστου ἔτους ὄστρεια πεντα-*

κόσια. τοιαύτη μὲν ἡ χώρα ἐστίν· ὑμᾶς δὲ χρὴ ὁρᾶν ὅπως δυνησόμεθα τοσούτοις ἔθνεσι μάχεσθαι καὶ ὅπως βιοτεύσομεν. Πόσοι *δέ, ἔφην ἐγώ, πάντες οὗτοί εἰσι ;* Πλείους, *ἔφη, τῶν χιλίων.* Ὅπλα *δὲ τίνα ἐστὶν αὐτοῖς ;* Οὐδέν, *ἔφη, πλὴν τὰ ὀστᾶ τῶν ἰχθύων.* Οὐκοῦν, *ἔφην ἐγώ, ἄριστ' ἂν ἔχοι διὰ μάχης ἐλθεῖν αὐτοῖς ἅτε οὖσιν ἀνόπλοις αὐτούς γε ὡπλισμένους· εἰ γὰρ κρατήσομεν αὐτῶν, ἀδεῶς τὸν λοιπὸν βίον οἰκήσομεν. ἔδοξε ταῦτα, καὶ ἀπελθόντες ἐπὶ ναῦν παρεσκευαζόμεθα. αἰτία δὲ τοῦ πολέμου ἔμελλεν ἔσεσθαι τοῦ φόρου ἡ οὐκ ἀπόδοσις, ἤδη τῆς προθεσμίας ἐνεστώσης. καὶ δὴ οἱ μὲν ἔπεμπον ἀπαιτοῦντες τὸν δασμόν· ὁ δὲ ὑπεροπτικῶς ἀποκρινάμενος ἀπεδίωξε τοὺς ἀγγέλους. πρῶτοι οὖν οἱ* Ψηττόποδες *καὶ οἱ* Παγουρίδαι *χαλεπαίνοντες τῷ* Σκινθάρῳ*—τοῦτο γὰρ ἐκαλεῖτο—μετὰ πολλοῦ θορύβου ἐπῄεσαν. ἡμεῖς δὲ τὴν ἔφοδον ὑποπτεύοντες ἐξοπλισάμενοι ἀνεμένομεν, λόχον τινὰ προτάξαντες ἀνδρῶν πέντε καὶ εἴκοσιν· προείρητο δὲ τοῖς ἐν τῇ ἐνέδρᾳ, ἐπειδὰν ἴδωσι παρεληλυθότας τοὺς πολεμίους, ἐπανίστασθαι· καὶ οὕτως ἐποίησαν, ἐπαναστάντες γὰρ κατόπισθεν ἔκοπτον αὐτούς, καὶ ἡμεῖς δὲ καὶ αὐτοὶ πέντε καὶ εἴκοσι τὸν ἀριθμὸν ὄντες—καὶ γὰρ ὁ* Σκίνθαρος *καὶ ὁ παῖς αὐτοῦ συνεστρατεύοντο—ὑπηντιάζομεν καὶ συμμείξαντες θυμῷ καὶ ῥώμῃ διεκινδυνεύομεν. τέλος δὲ τροπὴν αὐτῶν ποιησάμενοι κατεδιώξαμεν ἄχρι πρὸς τοὺς φωλεούς. ἀπέθανον δὲ τῶν μὲν πολεμίων ἑβδομήκοντα καὶ ἑκατόν, ἡμῶν δὲ εἷς καὶ ὁ κυβερνήτης, τρίγλης πλευρᾷ διαπαρεὶς τὸ μετάφρενον. ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν νύκτα ἐπηυλισάμεθα τῇ μάχῃ καὶ τρόπαιον ἐστήσαμεν ῥάχιν ξηρὰν δελφῖνος ἀναπήξαντες. τῇ ὑστεραίᾳ δὲ καὶ οἱ ἄλλοι αἰσθόμενοι παρῆσαν, τὸ μὲν δεξιὸν κέρας ἔχοντες οἱ* Ταριχᾶνες*—ἡγεῖτο δὲ αὐτῶν* Πήλαμος*—τὸ δὲ εὐώνυμον οἱ* Θυννοκέφαλοι, *τὸ μέσον δὲ οἱ* Καρκινόχειρες· *οἱ γὰρ* Τριτωνο-

μένδητες τὴν ἡσυχίαν ἦγον οὐδετέροις συμμαχεῖν προαιρούμενοι. ἡμεῖς δὲ προαπαντήσαντες αὐτοῖς παρὰ τὸ Ποσειδώνιον συνεμείξαμεν πολλῇ βοῇ χρώμενοι. ἀντήχει δὲ τὸ κύτος ὥσπερ τὰ σπήλαια. τρεψάμενοι δ' αὐτοὺς ἅτε γυμνῆτας ὄντας καὶ καταδιώξαντες ἐς τὴν ὕλην τὸ λοιπὸν ἐπεκρατοῦμεν τῆς γῆς. καὶ μετ' οὐ πολὺ κήρυκας ἀποστείλαντες νεκρούς τε ἀνῃροῦντο καὶ περὶ φιλίας διελέγοντο· ἡμῖν δὲ οὐκ ἐδόκει σπένδεσθαι, ἀλλὰ τῇ ὑστεραίᾳ χωρήσαντες ἐπ' αὐτοὺς πάντας ἄρδην ἐξεκόψαμεν πλὴν τῶν Τριτωνομενδήτων. οὗτοι δὲ ὡς εἶδον τὰ γιγνόμενα, διαδράντες ἐκ τῶν βραγχίων ἀφῆκαν αὐτοὺς ἐς τὴν θάλατταν. ἡμεῖς δὲ τὴν χώραν ἐπελθόντες ἔρημον ἤδη οὖσαν τῶν πολεμίων τὸ λοιπὸν ἀδεῶς κατῳκοῦμεν τὰ πολλὰ γυμνασίοις τε καὶ κυνηγεσίοις χρώμενοι καὶ ἀμπελουργοῦντες καὶ τὸν καρπὸν συγκομιζόμενοι τὸν ἐκ τῶν δένδρων, καὶ ὅλως ἐῴκειμεν τοῖς ἐν δεσμωτηρίῳ μεγάλῳ καὶ ἀφύκτῳ τρυφῶσι καὶ λελυμένοις. ἐνιαυτὸν μὲν οὖν καὶ μῆνας ὀκτὼ τοῦτον διήγομεν τὸν τρόπον. τῷ δ' ἐνάτῳ μηνὶ πέμπτῃ ἱσταμένου περὶ τὴν δευτέραν τοῦ στόματος ἄνοιξιν—ἅπαξ γὰρ δὴ τοῦτο κατὰ τὴν ὥραν ἑκάστην ἐποίει τὸ κῆτος, ὥστε ἡμᾶς πρὸς τὰς ἀνοίξεις τεκμαίρεσθαι τὰς ὥρας—περὶ οὖν τὴν δευτέραν, ὥσπερ ἔφη, ἄνοιξιν, ἄφνω βοή τε πολλὴ καὶ θόρυβος ἠκούετο καὶ ὥσπερ κελεύσματα καὶ εἰρεσίαι· ταραχθέντες οὖν ἀνειρπύσαμεν ἐπ' αὐτὸ τὸ στόμα τοῦ θηρίου, καὶ στάντες ἐνδοτέρω τῶν ὀδόντων καθεωρῶμεν ἁπάντων ὧν ἐγὼ εἶδον θεαμάτων παραδοξότατον, ἄνδρας μεγάλους ὅσον ἡμισταδιαίους τὰς ἡλικίας ἐπὶ νήσων μεγάλων προσπλέοντας ὥσπερ τριηρῶν. οἶδα μὲν οὖν ἀπίστοις ἐοικότα ἱστορήσων, λέξω δὲ ὅμως.

νῆσοι ἦσαν ἐπιμήκεις μέν, οὐ πάνυ δὲ ὑψηλαί, ὅσον ἑκατὸν σταδίων ἑκάστη τὸ περίμετρον· ἐπὶ δὲ αὐτῶν ἔπλεον τῶν ἀνδρῶν ἐκείνων ἀμφὶ τοὺς εἴκοσι

καὶ ἑκατόν· τούτων δὲ οἱ μὲν παρ' ἑκάτερα τῆς νήσου καθήμενοι ἐφεξῆς ἐκωπηλάτουν κυπαρίττοις μεγάλαις αὐτοκλάδοις καὶ αὐτοκόμοις ὥσπερεὶ ἐρετμοῖς, κατόπιν δὲ ἐπὶ τῆς πρύμνης, ὡς ἐδοκεῖ, κυβερνήτης ἐπὶ λόφου ὑψηλοῦ εἱστήκει χάλκεον ἔχων πηδάλιον πενταστάδιαῖον τὸ μῆκος· ἐπὶ δὲ τῆς πρῴρας ὅσον τετταράκοντα ὡπλισμένοι αὐτῶν ἐμάχοντο πάντα ἐοικότες ἀνθρώποις πλὴν τῆς κόμης· αὕτη δὲ πῦρ ἦν καὶ ἐκαίετο, ὥστε οὐδὲ κορύθων ἐδέοντο. ἀντὶ δὲ ἱστίων ὁ ἄνεμος ἐμπίπτων τῇ ὕλῃ πολλῇ οὔσῃ ἐν ἑκάστῃ ἐκόλπου τε αὐτὴν καὶ ἔφερε τὴν νῆσον ᾗ ἐθέλοι ὁ κυβερνήτης. κελευστὴς δὲ ἐφειστήκει αὐτοῖς καὶ πρὸς τὴν εἰρεσίαν ὀξέως ἐκινοῦντο ὥσπερ τὰ μακρὰ τῶν πλοίων. τὸ μὲν οὖν πρῶτον δύο ἢ τρεῖς ἑωρῶμεν, ὕστερον δὲ ἐφάνησαν ὅσον ἑξακόσιοι, καὶ διαστάντες ἐπολέμουν καὶ ἐναυμάχουν. πολλαὶ μὲν οὖν ἀντίπρῳροι συνηράσσοντο ἀλλήλαις, πολλαὶ δὲ καὶ ἐμβληθεῖσαι κατεδύοντο, αἱ δὲ συμπλεκόμεναι καρτερῶς διηγωνίζοντο καὶ οὐ ῥᾳδίως ἀπελύοντο· οἱ γὰρ ἐπὶ τῆς πρῴρας παρατεταγμένοι πᾶσαν ἐπεδείκνυντο προθυμίαν ἐπιβαίνοντες καὶ ἀναιροῦντες· ἐζώγρει δὲ οὐδείς. ἀντὶ δὲ χειρῶν σιδηρῶν πολύποδας μεγάλους ἐκδεδεμένους ἀλλήλοις ἀπερρίπτουν, οἱ δὲ περιπλεκόμενοι τῇ ὕλῃ κατεῖχον αὐτὴν τὴν νῆσον. ἔβαλλον μέντοι καὶ ἐτίτρωσκον ὀστρείοις τε ἁμαξοπληθέσι καὶ σπόγγοις πλεθριαίοις. ἡγεῖτο δὲ τῶν μὲν Αἰολοκένταυρος, τῶν δὲ Θαλασσοπότης· καὶ μάχη αὐτοῖς ἐγεγένητο, ὡς ἐδόκει, λείας ἕνεκα· ἐλέγετο γὰρ ὁ Θαλασσοπότης πολλὰς ἀγέλας δελφίνων τοῦ Αἰολοκενταύρου ἐληλακέναι, ὡς ἦν ἀκούειν ἐπικαλούντων ἀλλήλοις καὶ τὰ ὀνόματα τῶν βασιλέων ἐπιβοωμένων. τέλος δὲ νικῶσιν οἱ τοῦ Αἰολοκενταύρου, καὶ νήσους τῶν πολεμίων καταδύουσιν ἀμφὶ τὰς πεντήκοντα καὶ ἑκατόν, καὶ ἄλλας τρεῖς λαμβάνουσιν αὐτοῖς ἀνδράσιν, αἱ δὲ λοιπαὶ πρύμναν κρουσάμεναι ἔφευγον. οἱ δὲ

μέχρι τινὸς διώξαντες, ἐπειδὴ ἑσπέρα ἦν, τραπόμενοι πρὸς τὰ ναυάγια τῶν πλείστων ἐπεκράτησαν καὶ τὰ ἑαυτῶν ἀνείλοντο· καὶ γὰρ ἐκείνων κατέδυσαν νῆσοι οὐκ ἐλάττους τῶν ὀγδοήκοντα. ἔστησαν δὲ καὶ τρόπαιον τῆς νησομαχίας ἐπὶ τῇ κεφαλῇ τοῦ κήτους, μίαν τῶν πολεμίων νήσων ἀνασταυρώσαντες. ἐκείνην μὲν οὖν τὴν νύκτα περὶ τὸ θηρίον ηὐλίσαντο ἐξάψαντες αὐτοῦ τὰ ἀπόγεια καὶ ἐπ' ἀγκυρῶν πλησίον ὁρμισάμενοι· καὶ γὰρ ἀγκύραις ἐχρῶντο μεγάλαις, ὑαλίναις, καρτεραῖς. τῇ ὑστεραίᾳ δὲ θύσαντες ἐπὶ τοῦ κήτους καὶ τοὺς οἰκείους θάψαντες ἐπ' αὐτοῦ, ἀπέπλεον ἡδόμενοι καὶ ὥσπερ παιᾶνας ᾄδοντες. ταῦτα μὲν τὰ κατὰ τὴν νησομαχίαν γενόμενα.

τὸ δ' ἀπὸ τούτου οὐκέτι φέρων ἐγὼ τὴν ἐν τῷ κήτει δίαιταν, ἀχθόμενός τε τῇ μονῇ, μηχανήν τινα ἐζήτουν, δι' ἧς ἂν ἐξελθεῖν γένοιτο· καὶ τὸ μὲν πρῶτον ἔδοξεν ἡμῖν διορύξασι κατὰ τὸν δεξιὸν τοῖχον ἀποδρᾶναι, καὶ ἀρξάμενοι διεκόπτομεν· ἐπειδὴ δὲ προελθόντες ὅσον πέντε σταδίους οὐδὲν ἠνύομεν, τοῦ μὲν ὀρύγματος ἐπαυσάμεθα, τὴν δὲ ὕλην καῦσαι διέγνωμεν· οὕτω γὰρ ἂν τὸ κῆτος ἀποθανεῖν· εἰ δὲ τοῦτο γένοιτο, ῥᾳδία ἔμελλεν ἡμῖν ἔσεσθαι ἡ ἔξοδος. ἀρξάμενοι οὖν ἀπὸ τῶν οὐραίων ἐκαίομεν, καὶ ἡμέρας μὲν ἑπτὰ καὶ ἴσας νύκτας ἀναισθήτως εἶχε τοῦ καύματος, ὀγδόῃ δὲ καὶ ἐνάτῃ συνίεμεν αὐτοῦ νοσοῦντος· ἀργότερον γοῦν ἀνέχασκε, καὶ εἴ ποτε ἀναχάνοι, ταχὺ συνέμυε. δεκάτῃ δὲ καὶ ἑνδεκάτῃ τέλεον ἀπενενέκρωτο καὶ δυσῶδες ἦν· τῇ δωδεκάτῃ δὲ μόλις ἐνενοήσαμεν, ὡς, εἰ μή τις χανόντος αὐτοῦ ὑποστηρίξειε τοὺς γομφίους, ὥστε μηκέτι συγκλεῖσαι, κινδυνεύσομεν κατακλῃσθέντες ἐν νεκρῷ αὐτῷ ἀπολέσθαι· οὕτω δὴ μεγάλοις δοκοῖς τὸ στόμα διερείσαντες τὴν ναῦν ἐπεσκευάζομεν ὕδωρ τε ὡς ἓν πλεῖστον ἐμβαλλόμενοι καὶ τὰ ἄλλα ἐπιτήδεια· κυβερνᾶν δ' ἔμελλεν ὁ Σκίνθαρος. τῇ δ'

ἐπιούσῃ τὸ μὲν ἤδη ἐτεθνήκει· ἡμεῖς δὲ ἀνελκύσαντες τὸ πλοῖον καὶ διὰ τῶν ἀραιωμάτων διαγαγόντες καὶ ἐκ τῶν ὀδόντων ἐξάψαντες ἠρέμα καθήκαμεν ἐς τὴν θάλατταν· ἐπαναβάντες δὲ ἐπὶ τὰ νῶτα καὶ θύσαντες τῷ Ποσειδῶνι αὐτοῦ παρὰ τὸ τρόπαιον, ἡμέρας τε τρεῖς ἐπαυλισάμενοι—νηνεμία γὰρ ἦν—τῇ τετάρτῃ ἀπεπλεύσαμεν. ἔνθα δὴ πολλοῖς τῶν ἐκ τῆς ναυμαχίας νεκροῖς ἀπηντῶμεν καὶ προσωκέλλομεν, καὶ τὰ σώματα καταμετροῦντες ἐθαυμάζομεν. καὶ ἡμέρας μέν τινας ἐπλέομεν εὐκράτῳ ἀέρι χρώμενοι· ἔπειτα βορέου σφοδροῦ πνεύσαντος μέγα κρύος ἐγένετο καὶ ὑπ' αὐτοῦ πᾶν ἐπάγη τὸ πέλαγος οὐκ ἐπιπολῆς μόνον, ἀλλὰ καὶ ἐς βάθος ὅσον ἐπὶ τετρακοσίας ὀργυιάς, ὥστε καὶ ἀποβάντας διαθεῖν ἐπὶ τοῦ κρυστάλλου. ἐπιμένοντος δὲ τοῦ πνεύματος φέρειν οὐ δυνάμενοι, τοιόνδε τι ἐπενοήσαμεν—ὁ δὲ τὴν γνώμην ἀποφηνάμενος ἦν Σκίνθαρος—σκάψαντες γὰρ ἐν τῷ ὕδατι σπήλαιον μέγιστον, ἐν τούτῳ ἐμείναμεν ἡμέρας τριάκοντα, πῦρ ἀνακαίοντες καὶ σιτούμενοι τοὺς ἰχθῦς· εὑρίσκομεν δὲ αὐτοὺς ἀνορύττοντες. ἐπειδὴ δὲ ἤδη ἐπέλιπε τὰ ἐπιτήδεια, προελθόντες καὶ τὴν ναῦν πεπηγυῖαν ἀνασπάσαντες καὶ πετάσαντες τὴν ὀθόνην ἐσυρόμεθα ὥσπερ πλέοντες λείως καὶ προσηνῶς ἐπὶ τοῦ πάγου διολισθαίνοντες. ἡμέρᾳ δὲ πέμπτῃ ἀλέα τε ἤδη ἦν καὶ ὁ πάγος ἐλύετο καὶ ὕδωρ πάντα αὖθις ἐγίγνετο.

PART II

1. *ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.*
Menander 72.

2. *πλοῦτος δὲ πολλῶν ἐπικάλυμμ' ἐστὶν κακῶν.*
Id. 90.

3. *οὐκ ἐμὸν ἀνοίγειν λανθάνουσαν ἀτυχίαν*
ἔστ', ἀλλὰ μᾶλλον κατακαλύπτειν φημὶ δεῖν.
Id. 674.

4. *μέγιστόν ἐστιν ἆρα τοῖς ἑπταικόσιν*
τὸ παρόντας ἐγγὺς τοὺς συναλγοῦντας βλέπειν.
Id. 675.

5. *εἰ τἄλλ' ἀφαιρεῖν ὁ πολὺς εἴωθεν χρόνος*
ἡμῶν, τό γε φρονεῖν ἀσφαλέστερον ποιεῖ.
Id. 676.

6. *ὁ φθονερὸς αὑτῷ πολέμιος καθίσταται·*
αὐθαιρέτοις γὰρ συνέχεται λύπαις ἀεί.
Id. 634.

7. *ἀμορφότατος τὴν ὄψιν εἰμὶ γὰρ Φόβος,*
πάντων ἐλάχιστον τοῦ καλοῦ μετέχων θεός.
Com. Frag. Adesp. 154.

8. ἦ πού τι χαλεπόν ἐστι τὸ ψευδῆ λέγειν.
Menander 778.

9. τί δ' ὄφελος εὖ λαλοῦντος, ἂν κακῶς φρονῇ;
οὐδὲν γὰρ αἰσχρόν ἐστι τἀληθῆ λέγειν.
ἀδύνατον, ὡς ἔοικε, τἀληθὲς λαθεῖν.
Id. 821.

10. τί τἀλλότριον, ἄνθρωπε βασκανώτατε,
κακὸν ὀξυδορκεῖς, τὸ δ' ἴδιον παραβλέπεις;
Com. Frag. Adesp. 359.

11. τόλμα τι, κινδύνευε, πράττ', ἀποτύγχανε,
ἐπίτυχε· πάντα μᾶλλον ἢ σαυτὸν προοῦ.
Ibid. 357.

12. στοιχεῖα ταῦτα τῆς ἀρετῆς ἐστιν δύο,
ἐλπίς τε τιμῆς καὶ φόβος τιμωρίας.
Ibid. 163.

13. ἂν καλὸν ἔχῃ τις σῶμα καὶ ψυχὴν κακήν,
καλὴν ἔχει ναῦν καὶ κυβερνήτην κακόν.
Menander 1100.

14. πρᾷον κακοῦργος σχῆμ' ὑπεισελθὼν ἀνὴρ
κεκρυμμένη κεῖται παγὶς τοῖς πλησίον.
Id. 689.

15. ὅστις δὲ διαβολαῖσι πείθεται ταχύ,
ἤτοι πονηρὸς αὐτός ἐστι τοὺς τρόπους,
ἢ παντάπασι παιδαρίου γνώμην ἔχει.
Id. 577.

16. *πλεονεξία μέγιστον ἀνθρώποις κακόν·*
οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας
ἀποτυγχάνουσι πολλάκις νικώμενοι,
τὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.
Menander 557.

17. *οὗτος κράτιστός ἐστ' ἀνήρ, ὦ Γοργία,*
ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίστατ' ἐγκρατῶς·
τὸ δ' ὀξύθυμον τοῦτο καὶ λίαν πικρὸν
δεῖγμ' ἐστὶν εὐθὺς πᾶσι μικροψυχίας.
Id. 95.

18. *μειράκιον, οὔ μοι κατανοεῖν δοκεῖς ὅτι*
ὑπὸ τῆς ἰδίας ἕκαστα κακίας σήπεται,
καὶ πᾶν τὸ λυμαινόμενόν ἐστιν ἔνδοθεν.
οἷον ὁ μὲν ἰός, ἂν σκοπῇς, τὸ σιδήριον,
τὸ δ' ἱμάτιον οἱ σῆτες, ὁ δὲ θρὶψ τὸ ξύλον.
σὲ δὲ τὸ κάκιστον τῶν κακῶν πάντων, φθόνος
φθισικὸν πεποίηκε καὶ ποιήσει καὶ ποιεῖ,
ψυχῆς πονηρᾶς δυσσεβὴς παράστασις.
Id. 540.

19. *οἷοι λαλοῦμεν ὄντες οἱ τρισάθλιοι*
ἅπαντες οἱ φυσῶντες ἐφ' ἑαυτοῖς μέγα·
αὐτοὶ γὰρ οὐκ ἴσασιν ἀνθρώπων φύσιν.
οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται·
ἐπὰν δ' ἀνοίξῃ τὰς θύρας τρισάθλιος,
γύνη κρατεῖ πάντων, ἐπιτάττει, μάχετ' ἀεί.
ἀπὸ πλειόνων ὀδυνᾶτ', ἐγὼ δ' ἀπ' οὐδενός.
Id. 302.

20. *ὅταν τι μέλλῃς τὸν πέλας κακηγορεῖν,*
αὐτὸς τὰ σαυτοῦ πρῶτον ἐπισκέπτου κακά.
Id. 710.

21. τοὺς εὖ γεγονότας καὶ τεθραμμένους καλῶς
κἂν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας.

Menander 664.

22. τὸ μὲν λέγειν βροτοῖς
ἡ φύσις ἔδωκε, τὸ δὲ καλῶς λέγειν τέχνη.

Com. Frag. Adesp. 403.

23. δεῖται προφάσεως ἡ πονηρία μόνον.

Ibid. 446.

24. γέρων γέροντι γλῶτταν ἡδίστην ἔχει,
παῖς παιδί, καὶ γυναικὶ πρόσφορον γυνή,
νοσῶν τ' ἀνὴρ νοσοῦντι, καὶ δυσπραξίᾳ
ληφθεὶς ἐπῳδός ἐστι τῷ πειρωμένῳ.

Ibid. 1206.

25. περὶ μεγάλων γὰρ πραγμάτων σκοπουμένοις
εὐνουστάτη σύμβουλος ἡ παρρησία.

Ibid. 355.

26. ἀβαρὲς γὰρ ὅρκος χρῆμα σοί γ' εἶναι δοκεῖ,
ὃ παντὸς ἄχθους ἐστὶ δυσφορώτερον.

Ibid. 158.

27. οὐκ ἔργον ἐστὶν εὖ λέγειν, ἀλλ' εὖ φρονεῖν·
πολλοὶ γὰρ εὖ λέγοντες οὐκ ἔχουσι νοῦν.

Poseidippus 33.

28. ὅταν λέγῃς μὲν πολλά, μανθάνῃς δὲ μή,
τὸ σὸν διδάξας τοὐμὸν οὐ μαθὼν ἔσει.

 Menander 684.

29. ὁ μὲν λόγος σου, παῖ, κατ' ὀρθὸν εὐδρομεῖ,
τὸ δ' ἔργον ἄλλην οἶμον ἐκπορεύεται.
Menander 681.

30. ὁ μὴ φρονῶν μέν, πολλὰ δ' ἐφ' ἑκάστου λαλῶν
δείκνυσιν αὑτοῦ τὸν τρόπον τοῖς ῥήμασιν.
Id. 682.

31. ὁ μὲν λόγος σου συνέσεως πολλῆς γέμει,
τὰ δ' ἔργα σύνεσιν οὐκ ἔχοντα φαίνεται.
Id. 680.

32. ὁ σκληρότατος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν
τοῖς μὲν λόγοις πικρός ἐστι, τοῖς δ' ἔργοις πατήρ.
Id. 662.

33. αἰσχύνομαι τὸν πατέρα, Κλειτοφῶν, μόνον·
ἀντιβλέπειν ἐκεῖνον οὐ δυνήσομαι
ἀδικῶν, τὰ δ' ἄλλα ῥᾳδίως χειρώσομαι.
Id. 586.

34. μηδὲν ὀδύνα τὸν πατέρα, γινώσκων ὅτι
ὁ μέγιστον ἀγαπῶν δι' ἐλάχιστ' ὀργίζεται.
Id. 659.

35. οὐκ ἔστι μείζων ἡδονὴ ταύτης πατρί,
ἢ σωφρονοῦντα καὶ φρονοῦντ' ἰδεῖν τινα
τῶν ἐξ ἑαυτοῦ.
Id. 603.

36. οὐκ ἔστ' ἄκουσμ' ἥδιον ἢ ῥηθεὶς λόγος
πατρὸς πρὸς υἱὸν περιέχων ἐγκώμιον.
Id. 660.

37. ὁ λοιδορῶν τὸν πατέρα δυσφήμῳ λόγῳ
τὴν εἰς τὸ θεῖον ἐκμελετᾷ βλασφημίαν.

Menander 715.

38. ὁ μὴ τρέφων τεκοῦσαν ἐκ τέχνης νέος
ἄκαρπος οὗτός ἐστ' ἀπὸ ῥίζης κλάδος.

Id. 716.

39. νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν.

Id. 805.

40. τοῦτον εὐτυχέστατον λέγω,
ὅστις θεωρήσας ἀλύπως, Παρμένων,
τὰ σεμνὰ ταῦτ' ἀπῆλθεν, ὅθεν ἦλθεν, ταχύ,
τὸν ἥλιον τὸν κοινόν, ἄστρ', ὕδωρ, νέφη,
πῦρ· ταῦτα, κἂν ἑκατὸν ἔτη βιῷς, ἀεὶ
ὄψει παρόντα, κἂν ἐνιαυτοὺς σφόδρ' ὀλίγους,
σεμνότερα τούτων ἕτερα δ' οὐκ ὄψει ποτέ.
πανήγυριν νόμισόν τιν' εἶναι τὸν χρόνον,
ὅν φημι, τοῦτον, ἢ 'πιδημίαν, ἐν ᾧ
ὄχλος, ἀγορά, κλέπται, κυβεῖαι, διατριβαί.

Id. 481.

41. ἄνθρωπος ὢν μηδέποτε τὴν ἀλυπίαν
αἰτοῦ παρὰ θεῶν, ἀλλὰ τὴν μακροθυμίαν.
ὅταν γὰρ ἄλυπος διὰ τέλους εἶναι θέλῃς
ἢ δεῖ θεόν σ' εἶναί τιν' ἢ τάχα δὴ νεκρόν.
παρηγόρει δὲ τὰ κακὰ δι' ἑτέρων κακῶν.

Id. 549.

42. ὅταν εἰδέναι θέλῃς σεαυτὸν ὅστις εἶ,
ἔμβλεψον εἰς τὰ μνήμαθ' ὡς ὁδοιπορεῖς.
ἐνταῦθ' ἔνεστ' ὀστᾶ τε καὶ κούφη κόνις

ἀνδρῶν βασιλέων καὶ τυράννων καὶ σοφῶν
καὶ μέγα φρονούντων ἐπὶ γένει καὶ χρήμασιν
αὐτῶν τε δόξῃ κἀπὶ κάλλει σωμάτων.
κᾆτ' οὐδὲν αὐτοῖς τῶνδ' ἐπήρκεσεν χρόνος.
κοινὸν τὸν ᾅδην ἔσχον οἱ πάντες βροτοί.
πρὸς ταῦθ' ὁρῶν γίγνωσκε σαυτὸν ὅστις εἶ.

Menander 538.

43. Ἅιδην ὑπειλήφασιν ὑπὸ τῇ γῇ τόπον
βαθύν, πολύχωρον καὶ ζοφερὸν κἀνήλιον.

Com. Frag. Adesp. 363.

44. καὶ πυραμίδες στῆλαί τε κἀπιγράμματα
πῶς οὐ περιττὰ παιδιαῖς τ' ἐοικότα;

Ibid. 364.

45. ἄνευ κακῶν γὰρ οἰκίαν οἰκουμένην
οὐκ ἔστιν εὑρεῖν, ἀλλὰ τοῖς μὲν ἡ τύχη
τούτων δίδωσιν ἀφθονίαν, τοῖς δ' οἱ τρόποι.

Menander 589.

46. ὦ μεταβολαῖς χαίρουσα παντοίαις τύχη,
σόν ἐστ' ὄνειδος τοῦθ', ὅταν τις ὢν ἀνὴρ
δίκαιος ἀδίκοις περιπέσῃ συμπτώμασιν.

Id. 590.

47. ἄνοια θνητοῖς δυστύχημ' αὐθαίρετον.
τί σαυτὸν ἀδικῶν τὴν τύχην καταιτιᾷ;

Id. 618.

48. ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὐτυχεῖν
λαμπροί, τὰ δ' ἔνδον πᾶσιν ἀνθρώποις ἴσοι.

Id. 609.

49. *πειρῶ τύχης ἄνοιαν ἀνδρείως φέρειν.*
Menander 812.

50. *ἀνθρωπίνως χρὴ τὰς τύχας φέρειν, ξένε.*
τὰ κοινὰ κοινῶς δεῖ φέρειν συμπτώματα.
Id. 816.

51. *ἡδύ γ' ἀποθνῄσκειν ὅτῳ ζῆν μὴ πάρεσθ' ὡς βούλεται.*
Id. 930.

52. *πολλῶν ἰατρῶν εἴσοδοί μ' ἀπώλεσαν.*
Id. 1112.

53. *εἰ πάντες ἐβοηθοῦμεν ἀλλήλοις ἀεί,*
οὐδεὶς ἂν ὢν ἄνθρωπος ἐδεήθη τύχης.
Id. 679.

54. *πολύ γ' ἐστὶ πάντων κτῆμα τιμιώτατον*
ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη.
τὰ μὲν γὰρ ἄλλα καὶ πόλεμος καὶ μεταβολαὶ
τύχης ἀνήλωσ', ἡ τέχνη δὲ σῴζεται.
Hipparchos 2.

55. *ἀπραγμόνως ζῆν ἡδύ· μακάριος βίος*
καὶ σεμνός, ἂν ᾖ μεθ' ἑτέρων ἀπραγμόνων·
ἐν θηρίοις δὲ καὶ πιθήκοις ὄντα δεῖ
εἶναι πίθηκον· ὢ ταλαιπώρου βίου.
Philippides 18.

56. *ὅταν ἀτυχεῖν σοι συμπέσῃ τι, δέσποτα,*
Εὐριπίδου μνήσθητι, καὶ ῥᾴων ἔσει·
"οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ."
εἶναι δ' ὑπόλαβε καὶ σὲ τῶν πολλῶν ἕνα.
Apollodorus 1.

57. ὁ πρῶτος εἰπὼν "μεταβολὴ πάντων γλυκύ,"
οὐχ ὑγίαινε, δέσποτ'. ἐκ μὲν γὰρ κόπου
γλυκεῖ' ἀνάπαυσις, ἐξ ἀλουσίας δ' ὕδωρ,
καὶ τἄλλα τοιαῦτ'· ἂν δέῃ δ' ἐκ πλουσίου
πτωχὸν γενέσθαι, μεταβολὴ μέν, ἡδὺ δ' οὔ.
ὥστ' οὐχὶ πάντων ἐστὶ μεταβολὴ γλυκύ.
Com. Frag. Adesp. 115.

58. παύσασθε νοῦν λέγοντες· οὐδὲν γὰρ πλέον
ἀνθρώπινος νοῦς ἐστιν, ἀλλ' ὁ τῆς τύχης
(εἴτ' ἐστὶ τοῦτο πνεῦμα θεῖον εἴτε νοῦς)
τοῦτ' ἔστι τὸ κυβερνῶν ἅπαντα καὶ στρέφον
καὶ σῷζον, ἡ πρόνοια δ' ἡ θνητὴ καπνὸς
καὶ φλήναφος· πείσθητε κοὐ μέμψεσθέ με·
πάνθ' ὅσα νοοῦμεν ἢ λέγομεν ἢ πράττομεν
τύχη 'στίν, ἡμεῖς δ' ἐσμὲν ἐπιγεγραμμένοι.
τύχη κυβερνᾷ πάντα· ταύτην καὶ φρένας
δεῖ καὶ πρόνοιαν τὴν θεὸν καλεῖν μόνην,
εἰ μή τις ἄλλως ὀνόμασιν χαίρει κενοῖς.
Menander 482.

59. Α. Τύχην ἀμύνεσθαι; τίνα τρόπον; Β. Φιλοσόφως.
Α. Τὸν Δία δὲ πῶς ὕοντα; τὸν βορέαν δὲ πῶς;
Β. Ζητοῦμεν ἱμάτιον, βαλανεῖον, πῦρ, στέγην·
οὐχ ὑόμενοι καθήμεθ' οὐδὲ κλάομεν.
Com. Frag. Adesp. 118.

60. γνώμη γὰρ οὐδέν ἐστιν, ἡ τύχη δὲ πᾶν,
ἧς ἡδὺς ὁ τυχὼν ἔστι καὶ νομίζεται.
Ibid. 147.

61. ἀλλ' εἴθε μήτε πρότερον ηὐξάμην τάλας
μήτ' ἔσχον ἐπινεύουσαν εὐθὺς τὴν τύχην.
Ibid. 156.

62. *οἰκτρότατόν ἐστι πεῖραν ἐπὶ γήρως ὁδῷ*
ἀδίκου τύχης δίκαιος εἰληφὼς τρόπος.

Menander 671.

63. *ἄνδρα τὸν ἀληθῶς εὐγενῆ καὶ τἀγαθὰ*
καὶ τὰ κακὰ δεῖ πταίοντα γενναίως φέρειν.

Id. 672.

64. *ταῖς ἀτυχίαισι μὴ 'πίχαιρε τῶν πέλας·*
πρὸς τὴν τύχην γὰρ ζυγομαχεῖν οὐ ῥᾴδιον.

Id. 673.

65. *οὐκ ἔστι λύπης, ἄν περ ὀρθῶς τις σκοπῇ,*
ἄλγημα μεῖζον τῶν ἐν ἀνθρώπου φύσει.

Id. 667.

66. *πολλῶν φύσει τοῖς πᾶσιν ἀνθρώποις κακῶν*
ὄντων μέγιστόν ἐστιν ἡ λύπη κακόν.

Id. 668.

67. *οὐκ ἔστιν ὀργῆς, ὡς ἔοικε, φάρμακον*
ἀλλ' ἢ λόγος σπουδαῖος ἀνθρώπου φίλου.

Id. 630.

68. *πάντων ἰατρὸς τῶν ἀναγκαίων κακῶν*
χρόνος ἐστίν· οὗτος καὶ σὲ νῦν ἰάσεται.

Id. 677.

69. *τῷ μὲν τὸ σῶμα διατεθημένῳ κακῶς*
χρεία 'στ' ἰατροῦ, τῷ δὲ τὴν ψυχὴν φίλου·
λύπην γὰρ εὔνους οἶδε θεραπεύειν λόγος.

Id. 591.

70. *εἰ καὶ σφόδρ᾽ ἀλγεῖς, μηδὲν ἠρεθισμένος*
πράξῃς προπετῶς· ὀργῆς γὰρ ἀλογίστου κρατεῖν
ἐν ταῖς ταραχαῖς μάλιστα τὸν φρονοῦντα δεῖ.
Menander 574.

71. *ὅταν ἕτερός σοι μηδὲ ἓν τέλεον διδῷ,*
δέξαι τὸ μόριον· τοῦ λαβεῖν γὰρ μηδὲ ἓν
τὸ λαβεῖν ἔλαττον πλεῖον ἔσται σοι πολύ.
Id. 571.

72. *φιλοῦσιν ἰατροὶ λέγειν*
τὰ φαῦλα μείζω καὶ τὰ δείν᾽ ὑπέρφοβα,
πυργοῦντες αὑτούς.
Id. 497.

73. *οὐδείς ἐστί μοι*
ἀλλότριος, ἂν ᾖ χρηστός· ἡ φύσις μία
πάντων, τὸ δ᾽ οἰκεῖον συνίστησιν τρόπος.
Id. 602.

74. *Ἕλληνές εἰσιν ἄνδρες, οὐκ ἀγνώμονες,*
καὶ μετὰ λογισμοῦ πάντα πράττουσίν τινος.
Id. 617.

75. *νόμος φυλαχθεὶς οὐδέν ἐστιν ἢ νόμος,*
ὁ μὴ φυλαχθεὶς καὶ νόμος καὶ δήμιος.
Id. 700.

76. *μὴ πάσχε πρῶτον τὸν νόμον καὶ μάνθανε·*
πρὸ τοῦ παθεῖν δὲ τῷ φόβῳ προλαμβάνου.
Id. 701.

77. *νόμον φοβηθεὶς οὐ ταραχθήσει νόμῳ.*
Id. 858.

78. δέσποιν' ἁπασῶν, πότνι' Ἀθηναίων πόλι,
ὡς πάγκαλόν σου φαίνεται τὸ νεώριον,
ὡς καλὸς ὁ Παρθενών, καλὸς δ' ὁ Πειραιεύς.
ἄλση δὲ τίς πω τοιάδ' ἔσχ' ἄλλη πόλις;
καὶ τοὐρανοῦ γ', ὥς φασιν, ἐστὶν ἐν καλῷ.
Com. Frag. Adesp. 340.

79. ὁ τῶν γεωργῶν ἡδονὴν ἔχει βίος,
ταῖς ἐλπίσιν τἀλγεινὰ παραμυθούμενος.
Menander 641.

80. ἐγὼ γεωργῶ τὸν ἀγρόν, οὐχ ὅπως τρέφῃ
αὐτός με, παρ' ἐμοῦ δ' ἵνα τροφὴν προσλαμβάνῃ.
σκάπτω γὰρ αὐτὸς ἐπιμελῶς, σπείρω τ' ἀεί,
καὶ πάντα ποιῶ πρὸς τὸ δούς τι καὶ λαβεῖν·
ὁ δὲ λαμβάνει μέν, ἀποδίδωσι δ' οὐδὲ ἕν.
Com. Frag. Adesp. 108.

81. ἆρ' ἐστὶν ἀρετῆς καὶ βίου διδάσκαλος
ἐλευθέρου τοῖς πᾶσιν ἀνθρώποις ἀγρός;
Menander 408.

82. πέτρας γεωργεῖν ἐστι συμφορώτερον
ἢ πεδία χαλεποὺς γείτονας κεκτημένοις.
Com. Frag. Adesp. 380.

83. ὅταν γάρ, οἶμαι, λευκὸς ἄνθρωπος, παχύς,
ἀργός, λάβῃ δίκελλαν εἰωθὼς τρυφᾶν
πενταστάτηρον, γίγνεται τὸ πνεῦμ' ἄνω.
Sosicrates 1.

84. ὅστις ἐπὶ δεῖπνον ὀψὲ κληθεὶς ἔρχεται,
ἢ χωλός ἐστιν ἢ οὐ δίδωσι συμβολάς.
Com. Frag. Adesp. 155.

85. ἀλλὰ ξενῶνας οἶγε καὶ ῥᾶνον δόμους,
στρῶννυ τε κοίτας καὶ πυρὸς φλέξον μένος,
κρατῆρά τ' αἶρου καὶ τὸν ἥδιστον κέρα.
Com. Frag. Adesp. 1211.

86. εἰς οἰκίαν ὅταν τις εἰσίῃ φίλου,
ἔστιν θεωρεῖν, Νικοφῶν, τὴν τοῦ φίλου
εὔνοιαν εὐθὺς εἰσιόντα τὰς θύρας.
ὁ θυρωρὸς ἱλαρὸς πρῶτόν ἐστιν ἡ κύων,
ἔσηγε καὶ προσῆλθ', ὑπαντήσας δέ τις·
δίφρον εὐθέως ἔθηκε, κἂν μηδεὶς λέγῃ.
Apollodorus 14.

87. κόψω τὴν θύραν.
ἀλλ' ἐψόφηκεν ἡ θύρα. τίς οὑξιών;
Menander 860.

88. πρὸς ταῖς ἐμαυτοῦ νῦν θύραις ἕστηκ' ἐγώ.
Id. 830.

89. ὄνειδος αἰσχρὸς βίος ὅμως κἂν ἡδὺς ᾖ.
Id. 756.

90. A. Ὁ φανὸς ἡμῖν οὐκ ἔφαινεν οὐδὲ ἕν.
B. Ἔπειτα φυσᾶν δυστυχὴς οὐκ ἠδύνω;
Philippides 16.

91. ἅπανθ' ὅσα ζῇ καὶ τὸν ἥλιον βλέπει
τὸν κοινὸν ἡμῖν, δοῦλα ταῦτ' ἔσθ' ἡδονῆς.
Menander 611.

92. καίτοι νέος ποτ' ἐγενόμην κἀγώ, γύναι,
ἀλλ' οὐκ ἐλούμην πεντάκις τῆς ἡμέρας
τότ'· ἀλλὰ νῦν. οὐδὲ χλανίδ' εἶχον· ἀλλὰ νῦν.

οὐδὲ μῦρον εἶχον· ἀλλὰ νῦν. καὶ βάψομαι,
καὶ παρατιλοῦμαι νὴ Δία καὶ γενήσομαι
Κτήσιππος, οὐκ ἄνθρωπος ἐν ὀλίγῳ χρόνῳ·
κᾆθ' ὡς ἐκεῖνος κατέδομαι καὶ τοὺς λίθους
ἁπαξάπαντας, οὐ γὰρ οὖν τὴν γῆν μόνην.

Menander 363.

93. Α. *Χαῖρ', ὦ Γλυκέριον.* ΓΛ. *Καὶ σύ.* Α. *Πολλοστῷ χρόνῳ*
ὁρῶ σε.

Id. 329.

94. *ὦ δυστυχής,*
τί οὐ καθεύδεις; σύ μ' ἀποκναίεις περιπατῶν.

Id. 341.

95. *ὦ τρισκατάρατε ζωπύρει τοὺς ἄνθρακας.*

Id. 71.

96. Α. *Ἀγαθόν τί μοι γένοιτο, πολύτιμοι θεοί·*
ὑποδούμενος τὸν ἱμάντα γὰρ τῆς δεξιᾶς
ἐμβάδος ἀπέρρηξ'. Β. *Εἰκότως, ὦ φλήναφε·*
σαπρὸς γὰρ ἦν, σὺ δὲ μικρολόγος ἄρ' οὐ θέλων
καινὰς πρίασθαι.

Id. 109.

97. *περὶ τὸν τράχηλον ἁλύσιόν τί σοι δότω.*

Id. 258.

98. *εἶτ' εὐθὺς οὕτω τὰς τραπέζας αἴρετε,*
μύρα, στεφάνους ἑτοίμασον, σπονδὰς ποίει.

Id. 273.

99. ἀλλ' οὔτε δούλους οὔτε μὰ Δί' ἄν τις φίλους
κτήσαιτο πολλοὺς ἀπ' ὀλίγου νομίσματος.
Com. Frag. Adesp. 166.

100. ὡς κρεῖττόν ἐστι δεσπότου χρηστοῦ τυχεῖν
ἢ ζῆν ταπεινῶς καὶ κακῶς ἐλεύθερον.
Menander 1093.

101. ἐλευθέρως δούλευε· δοῦλος οὐκ ἔσει.
Id. 857.

102. ἐλεύθερος πᾶς ἑνὶ δεδούλωται, νόμῳ,
δυοῖν δὲ δοῦλος καὶ νόμῳ καὶ δεσπότῃ.
Id. 699.

103. δούλῳ γενομένῳ, δοῦλε, δουλεύων φοβοῦ·
ἀμνημονεῖ γὰρ ταῦρος ἀργήσας ζυγοῦ.
Id. 698.

104. ἂν πάντα δουλεύειν ὁ δοῦλος μανθάνῃ,
πονηρὸς ἔσται· μεταδίδου παρρησίας,
βελτίον' αὐτὸν τοῦτο ποιήσει πολύ.
Id. 370.

105. οὐ δεῖ γὰρ ἀδικεῖν οἰκέτας, ἄλλως τε καὶ
ὅταν μετ' εὐνοίας τι μὴ πονηρίᾳ
πταίσωσιν· αἰσχρόν ἐστι τοῦτο γὰρ πάνυ.
Id. 110.

106. ὅταν ἀτυχῇ τις, εὐνοοῦντος οἰκέτου
οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον βίῳ.
Id. 644.

107. ἐμοὶ πόλις ἐστὶ καὶ καταφυγὴ καὶ νόμος
καὶ τοῦ δικαίου τοῦ τ' ἀδίκου παντὸς κριτὴς
ὁ δεσπότης. πρὸς τοῦτον ἕνα δεῖ ζῆν ἐμέ.

Menander 581.

108. ὅταν ἐκ πονηροῦ πράγματος κέρδος λάβῃς,
τοῦ δυστυχεῖν νόμιζέ σ' ἀρραβῶν' ἔχειν.

Id. 697.

109. ἀργύριον ἂν ᾖ, πάντα θεῖ κἀλαύνεται.

Com. Frag. Adesp. 522.

110. ἵππον ταλάντων εἶχε πεντεκαίδεκα,
αὐτὸς δὲ χαλκῶν τιμιώτερος τριῶν.

Ibid. 376.

111. δεινὸν πένεσθαι, χεῖρον εὐπορεῖν κακῶς.

Ibid. 273.

112. τὸν χλανίδα πάντες, ὡς ἔοικεν, οὐκ ἐμὲ
προσηγόρευον· οὐδὲ εἷς νῦν μοι λαλεῖ.

Poseidippus 31.

113. οὐκ οἶδ' ὅτῳ πέποιθας· ἀργυρίῳ, πάτερ;
ὁ καιρὸς ὁ τυχὼν τοῖς μὲν οὐ κεκτημένοις
ἔδωκε, τῶν κεκτημένων δ' ἀφείλετο.

Apollodorus 16.

114. οὐ δεῖ λέγειν γὰρ μακάριον τὸν χρήματα
ἔχοντα πλεῖστα, τὸν δὲ μὴ λυπούμενον.

Id. 11.

115. ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα
ταῦτ' ἐστὶν ὄψις, παραπέτασμα τοῦ βίου.

Menander 1094.

116. κἂν μυρίων γῆς κυριεύῃς πήχεων,
θανὼν γενήσει τάχα τριῶν ἢ τεττάρων.
Menander 1099.

117. βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσιν σκόπει.
Id. 854.

118. πένης λέγων τἀληθὲς οὐ πιστεύεται.
Id. 866.

119. ἐμὲ δ' ἀδικείτω πλούσιος καὶ μὴ πένης·
ῥᾷον φέρειν γὰρ κρειττόνων τυραννίδα.
Id. 688.

120. πλοῦτος ἀλόγιστος προσλαβὼν ἐξουσίαν
καὶ τοὺς φρονεῖν δοκοῦντας ἀνοήτους ποιεῖ.
Id. 665.

121. οὐπώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα
ἄνθρωπον, ἀπολαύοντα μηδὲν ὧν ἔχει.
Id. 624.

122. ἔχω δὲ πολλὴν οὐσίαν καὶ πλούσιος
καλοῦμ' ὑπὸ πάντων, μακάριος δ' ὑπ' οὐδενός.
Id. 612.

123. πένητος οὐδέν ἐστι δυστυχέστερον·
ἅπαντα μοχθεῖ κἀγρυπνεῖ κἀργάζεται
ἵν' ἄλλος ἐλθὼν μεταλάβῃ, κτῆσίν τ' ἔχῃ.
Id. 597.

124. οὕτω μαθεῖν δεῖ πάντα καὶ πλοῦτον φέρειν·
ἀσχημοσύνης γὰρ γίγνετ' ἐνίοις αἴτιος.
Id. 323.

125. οὐδεὶς ἐπλούτησεν ταχέως δίκαιος ὤν·
ὁ μὲν γὰρ αὑτῷ συλλέγει καὶ φείδεται,
ὁ δὲ τὸν πάλαι τηροῦντ' ἐνεδρεύσας πάντ' ἔχει.
Menander 294.

126. τὸ κουφότατόν σε τῶν κακῶν πάντων δάκνει,
πενία· τί γὰρ τοῦτ' ἐστίν; ἧς γένοιτ' ἂν εἷς
φίλος βοηθήσας ἰατρὸς ῥᾳδίως.
Id. 282.

127. μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει·
χρῆται γὰρ οὗτος εἰς ἃ δεῖ ταύτῃ καλῶς.
Id. 114.

128. τρία γάρ ἐστι, δέσποτα,
δι' ὧν ἅπαντα γίγνετ', ἢ κατὰ τοὺς νόμους,
ἢ ταῖς ἀνάγκαις ἢ τὸ τρίτον ἔθει τινί.
Id. 155.

129. δραχμῆς μὲν αὐλεῖ, τεττάρων δὲ παύεται.
Com. Frag. Adesp. 268.

130. δὶς παῖδες οἱ γέροντες.
Menander 517.

131. διὰ τὴν τέχνην μὲν γνωρίμους ἐκτησάμην
πολλούς, διὰ τὸν τρόπον δὲ τοὺς πλείστους
φίλους.
Poseidippus 32.

132. τὸν θρυλούμενον
ἁλῶν μέδιμνον συγκατεδηδοκὼς χρόνῳ
ἔστω φίλος σοι.
Com. Frag. Adesp. 176.

133. οὐδεὶς δὲ νικᾷ μὴ θελούσης τῆς τύχης.
Com. Frag. Adesp. 1207.

134. ἐλαφρὸν παραινεῖν τῷ κακῶς πεπραγότι.
Ibid. 1284.

135. χωρὶς γὰρ οἰκοῦσ' ἀρεταὶ τῶν ἡδονῶν.
Ibid. 1286.

136. διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ
οὐκ ἂν πλέον τέρψειας ἢ 'μπιεῖν διδούς.
Ibid. 1216 *b*.

137. παχεῖα γαστὴρ λεπτὸν οὐ τίκτει νόον.
Ibid. 1234.

138. θεοῦ θέλοντος δυνατὰ πάντα γίνεται.
Ibid. 1266.

139. οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθόν ἐσθ' ὁ πλοῦς.
Ibid. 600.

140. ἐν τοῖς ἐμαυτοῦ δικτύοις ἁλώσομαι.
Ibid. 560.

141. λέων ὅπου χρή, καὶ πίθηκος ἐν μέρει.
Ibid. 561.

142. τὴν αὐτὸς αὑτοῦ γὰρ θύραν κρούει λίθῳ.
Ibid. 564.

143. δίκη δίκην ἔτικτε καὶ βλάβη βλάβην.
 Ibid. 542.

144. πολλοὶ στρατηγοὶ Καρίον ἀπώλεσαν.
Com. Frag. Adesp. 556.

145. ῥόδον παρελθὼν μηκέτι ζήτει πάλιν.
Ibid. 557.

146. σπουδῆς ἀνάπαυλα δ' ἐνίοτ' ἐσθ' ἡ παιδιά.
Ibid. 523.

147. ἐγώ τε καὶ σὺ ταὐτὸν ἕλκομεν ζυγόν.
Ibid. 524.

148. καλὸν δὲ τὸ ζῆν, ἂν τις ὡς δεῖ ζῆν μάθῃ.
Ibid. 537.

149. ἥλῳ τὸν ἧλον, παττάλῳ τὸν πάτταλον.
Ibid. 494.

150. μὴ μεῖζον ἔστω τῆς νεὼς τὸ φορτίον.
Ibid. 512.

151. αἰσχρὸν δὲ κρίνειν τὰ καλὰ τῶν πολλῶν ψόφῳ.
Ibid. 518.

152. ἐν οἷς τὸ νικᾶν βλαβερόν, ἡττᾶσθαι καλόν.
Ibid. 452.

153. τὸ "γνῶθι σαυτόν" ἐν λόγοις οὐδὲν μέγα,
ἔργῳ δὲ τοῦτο μόνος ἐπίσταται θεός.
Ibid. 389.

154. εὐθὺς δὲ Φοῖνιξ γίγνομαι·
τῇ μὲν δίδωμι χειρί, τῇ δὲ λαμβάνω.
Ibid. 397.

155. ἄγροικός εἰμι τὴν σκάφην σκάφην λέγων.
Com. Frag. Adesp. 227.

156. τῶν γειτόνων γὰρ δυσμενὴς καὶ βάσκανος
οὐφθαλμός, ὥσπερ φησὶν ἡ παροιμία.
Ibid. 100.

157. οὐδὲν καλύπτει νὺξ κακῶς εἰργασμένον·
ὅ τι δ' ἂν ποιῇς, ἀεὶ νόμιζ' ὁρᾶν τινα.
Ibid. 148.

158. ἀγαθοὶ δὲ τὸ κακόν ἐσμεν ἐφ' ἑτέρων ἰδεῖν,
αὐτοὶ δ' ὅταν ποιῶμεν, οὐ γιγνώσκομεν.
Sosicrates 3.

159. ἄνθρωπος ὢν ἔπταικας· ἐν δὲ τῷ βίῳ
τέρας ἐστὶν εἴ τις ηὐτύχηκε διὰ βίου.
Baton 1.

160. ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν
τῆς εὐθανασίας κρεῖττον οὐδὲν εὔχεται.
Poseidippus 18.

161. ἔργον γε λύπην ἐκφυγεῖν, ἡ δ' ἡμέρα
ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει.
Id. 20.

162. ὁ κοινὸς ἰατρός σε θεραπεύσει χρόνος.
Philippides 32.

163. τοῖς γὰρ μεριμνῶσίν τε καὶ λυπουμένοις
ἅπασα νὺξ ἔοικε φαίνεσθαι μακρά.
Apollodorus 3.

164. *οὐδέποτ᾽ ἀθυμεῖν τὸν κακῶς πράττοντα δεῖ,*
ἄνδρες, τὰ βελτίω δὲ προσδοκᾶν ἀεί.
Apollodorus 9.

165. *μέλλων τι πράττειν μὴ προείπῃς μηδενί.*
ἅπαντα μεταμέλειαν ἀνθρώποις φέρει·
μόνη σιωπὴ μεταμέλειαν οὐ φέρει.
Menander 1103–5.

166. *θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται.*
Id. 1110.

167. *ἅπανθ᾽ ὅσ᾽ ὀργιζόμενος ἄνθρωπος ποιεῖ,*
ταῦθ᾽ ὕστερον λάβοις ἂν ἡμαρτημένα.
Id. 1089.

168. *οὔτ᾽ ἐκ χερὸς μεθέντα καρτερὸν λίθον*
ῥᾷον κατασχεῖν, οὔτ᾽ ἀπὸ γλώσσης λόγον.
Id. 1092.

169. *τὸ δὴ λεγόμενον τοῦτο θᾶττον ἢ βάδην.*
Id. 837.

170. *ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.*
Id. 845.

171. *μάντις δ᾽ ἄριστος ὅστις εἰκάζει καλῶς.*
Id. 852.

172. *ὅσος τὸ κατέχειν ἐστὶ τὴν ὀργὴν πόνος.*
Id. 780.

173. *οὐδὲν σιωπῆς ἐστι χρησιμώτερον.*
Id. 783.

174. οὐδεὶς πονηρὸν πρᾶγμα χρηστὸς ὢν ποιεῖ.
Menander 784.

175. ὀργὴ φιλούντων ὀλίγον ἰσχύει χρόνον.
Id. 797.

176. ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν.
Id. 771.

177. τὸ μηδὲν ἀδικεῖν πᾶσιν ἀνθρώποις πρέπει.
Id. 775.

178. λέγεις, ἃ δὲ λέγεις ἕνεκα τοῦ λαβεῖν λέγεις.
Id. 776.

179. ὦ παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά.
Id. 758.

180. ἐὰν τροφὴν δοὺς τὸν λαβόντ' ὀνειδίσῃς,
ἀψινθίῳ κατέπασας Ἀττικὸν μέλι.
Id. 708.

181. μυστήριόν σου μὴ κατείπῃς τῷ φίλῳ,
κοὐ μὴ φοβηθῇς αὐτὸν ἐχθρὸν γενόμενον.
Id. 695.

182. φρόνησιν ἀσκῶν ἄφροσιν μὴ χρῶ φίλοις,
ἐπεὶ κεκλήσει καὶ σὺ παντελῶς ἄφρων.
Id. 694.

183. καιρῷ τὸν εὐτυχοῦντα κολακεύων φίλος
καιροῦ φίλος πέφυκεν, οὐχὶ τοῦ φίλου.
Id. 692.

184. *χρυσὸς μὲν οἶδεν ἐξελέγχεσθαι πυρί,*
ἡ δ' ἐν φίλοις εὔνοια καιρῷ κρίνεται.
Menander 691.

185. *πολὺ κρεῖττόν ἐστιν ἓν καλῶς μεμαθηκέναι*
ἢ πολλὰ φαύλως περιβεβλῆσθαι πράγματα.
Id. 683.

186. *ὅστις στρατηγεῖ μὴ στρατιώτης γενόμενος,*
οὗτος ἑκατόμβην ἐξάγει τοῖς πολεμίοις.
Id. 640.

187. *οὐχ αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν,*
ἀλλ' ὁ τρόπος ἐνίων ἐστὶ τῇ φύσει γέρων.
Id. 639.

188. *οὐδεὶς ἐφ' αὑτοῦ τὰ κακὰ συνορᾷ, Πάμφιλε,*
σαφῶς, ἑτέρου δ' ἀσχημονοῦντος ὄψεται.
Id. 631.

189. *ὅταν τι πράττῃς ὅσιον, ἀγαθὴν ἐλπίδα*
πρόβαλλε σαυτῷ, τοῦτο γιγνώσκων ὅτι
τόλμῃ δικαίᾳ καὶ θεὸς συλλαμβάνει.
Id. 572.

190. *ἄνθρωπος ὢν ἥμαρτον· οὐ θαυμαστέον.*
Id. 499.

191. *ἀπορῶν τι βούλευσαι κατὰ σαυτὸν γενόμενος·*
τὸ συμφέρον γὰρ οὐχ ὁρᾶται τῷ βοᾶν,
ἐν τῷ πρὸς αὑτὸν δ' ἀναλογισμῷ φαίνεται.
Id. 447.

192. οὐδεὶς ξύνοιδεν ἐξαμαρτάνων πόσον
ἁμαρτάνει τὸ μέγεθος, ὕστερον δ᾽ ὁρᾷ.
Menander 448.

193. τρισάθλιόν γε καὶ ταλαίπωρον φύσει
πολλῶν τε μεστόν ἐστι τὸ ζῆν φροντίδων.
Id. 452.

194. ἀτύχημα κἀδίκημα διαφορὰν ἔχει·
τὸ μὲν διὰ τύχην γίγνεται, τὸ δ᾽ αἱρέσει.
Id. 426.

195. ἔρχεται τἀληθὲς εἰς φῶς ἐνίοτ᾽ οὐ ζητούμενον.
Id. 433.

196. οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενός.
Id. 411.

197. εὔπιστον ἀτυχῶν ἐστιν ἄνθρωπος φύσει·
τὸν πλησίον γὰρ οἴεται μᾶλλον φρονεῖν
ὁ τοῖς λογισμοῖς τοῖς ἰδίοις πταίων ἀεί.
Id. 380.

198. ἀλλὰ τῶν χρηστῶν ἔχει τιν᾽ ἐπιμέλειαν καὶ θεός.
Id. 379.

199. τὸ μηδὲν ἀδικεῖν ἐκμαθεῖν γάρ, ὦ Λάχης,
ἀστεῖον ἐπιτήδευμα κρίνω τῷ βίῳ.
Id. 284.

200. κατὰ πόλλ᾽ ἄρ᾽ ἐστὶν οὐ καλῶς εἰρημένον
τὸ "γνῶθι σαυτόν"· χρησιμώτερον γὰρ ἦν
τὸ "γνῶθι τοὺς ἄλλους."
Id. 240.

201. ὁ δεύτερος πλοῦς ἐστι δήπου λεγόμενος,
ἂν ἀποτύχῃ τις οὐρίου, κώπαισι πλεῖν.
Menander 241.

202. Κορινθίῳ πίστευε καὶ μὴ χρῶ φίλῳ.
Id. 764.

203. μισῶ πονηρόν, χρηστὸν ὅταν εἴπῃ λόγον.
Id. 767.

204. ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία.
Id. 768.

205. ἀεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν.
ἐν παντὶ καιρῷ τοῦτ᾽ ἐγὼ παρεγγύω
εἰς ἀσφάλειαν τῷ βίῳ πλεῖστον μέρος.
Id. 487.

PART III

I

Parts of the Body

ἔστι δὴ μέγιστα μέρη τοῦ σώματος κεφαλὴ καὶ αὐχὴν καὶ θώραξ καὶ χεῖρες καὶ σκέλη. τοῦ τετριχωμένου τὸ μὲν ἔμπροσθεν καλεῖται βρέγμα, ἐπὶ οὗ τέτακται ἡ καλουμένη στεφάνη, περὶ ἣν τοὺς στεφάνους τίθεμεν, ἰνίον δὲ τὸ ὀπίσω, τὰ δὲ ἑκατέρωθεν τοῦ βρέγματος κρόταφοι καὶ κόρσαι, τὸ δὲ ἐν μέσῳ κατὰ ὃ δὴ μάλιστα εἱλοῦνται αἱ τρίχες, κορυφή. ὑπὸ δὲ τῷ βρέγματι κεῖται τὸ μέτωπον. αἱ δὲ παρὰ τοὺς κροτάφους ἐκφύσεις τῶν τριχῶν ἴουλοι, χαῖται δὲ οἱ ὄπισθεν κατὰ τὸ ἰνίον ἀφειμέναι τρίχες. ἡ δὲ τοῦ μετώπου ἐσχάτη ῥυτὶς ἐπισκύνιον, τὰ δὲ τετριχωμένα τοῦ μετώπου ὀφρύες. τούτων ἡ μεσότης μεσόφρυον, ἀφ' οὗ ἡ ῥὶς τέταται, ἧς τὸ ἄκρον σφαιρίον καλεῖται, τὸ δ' ὑποκείμενον διάφραγμα. ἀπὸ δὲ τοῦ σφαιρίου τὸ καθῆκον σαρκῶδες ἐπὶ τὸ χεῖλος κίων, μυξωτῆρες τὰ κοιλώματα ἐξ ἑκατέρου μέρους δι' ὧν γίγνεται ἡ ὄσφρησις, πτερύγια ῥινὸς λέγεται τὰ τὰς κοιλότητας ταύτας περιέχοντα. τὸ δὲ ὑπὸ τῷ κίονι κοῖλον τὸ ἐπάνω τοῦ χείλους φίλτρον καλεῖται· πᾶν δὲ τὸ μετὰ τὴν ῥῖνα τοῦ ἄνω χεῖλος ὑπόρρινον, εἶτα χείλη δύο, ὧν τὰ ἄκρα πρόχειλα, τὸ δὲ σύμβλημα τῶν χειλῶν προστόμιον. ὑπὸ δὲ τῶν ὀφρύων ὑπόκεινται ὀφθαλμοί,

αὐτοὺς δὲ τοὺς ὀφθαλμοὺς τὰ σκέποντα βλέφαρα, ὧν τὸ μὲν ἄνωθεν τὸ δὲ κάτωθεν, αἱ δὲ συμβολαὶ αἱ ἐν τῷ ἐπιμύειν γιγνόμεναι ταρσοί. αἱ δὲ τρίχες αἱ ἐκ τῶν βλεφάρων ἐκπεφυκυῖαι βλεφαρίδες, τὰ δὲ πέρατα τῶν ταρσῶν κανθοί, ὧν ὁ μὲν πρὸς τῇ ῥινὶ μέγας ὁ δὲ πρὸς τῷ κροτάφῳ μικρός. κόραι, ἢ ὄψεις, ἢ γλῆναι τὰ μέσα τῶν ὀφθαλμῶν δι᾽ ὧν ὁρῶμεν· οἱ δὲ ὄψιν μὲν ᾧ βλέπομεν, κόρην δὲ καὶ γλήνην τὸ εἴδωλον τὸ ἐν τῇ ὄψει. τὰ δὲ μετὰ ταῦτα μέλανα, ἢ γλαυκά, ἢ χαροπὰ ἀπὸ τῆς χροίας καλεῖται. ἶρις δὲ ὁ κύκλος ὁ συνάπτων τῷ λευκῷ. τὰ δὲ ὑπὸ τοῖς ὀφθαλμοῖς ὑπώπια, οἷς ὑπόκεινται ἐπαναστάσεις τινές, αἳ καλοῦνται μῆλα, οἷς ἐρυθριῶμεν. ἀπὸ δὲ τῶν μήλων αἱ καλούμεναι παρειαὶ καὶ σιαγόνες καὶ γνάθοι, ὧν αἱ γενύες ἀπολήγουσιν εἰς τὸ ἄποξυ τῶν κάτω γνάθων, ἀφ᾽ οὗ τὸ μεχρὶ τοῦ κάτω χείλους περιφερές τε καὶ ἐξέχον γένειον· τὸ δὲ ὕπτιον ὑπὸ τὸ γένειον σαρκῶδες ἀνθερεῶνα, οἱ δὲ λευκανίαν. ὦτα καλοῦνται αἱ ἐπαναστάσεις αἱ ἐξ ἑκατέρου μέρους τῶν κροτάφων πρὸς τοῖς τέρμασι πεφυκυῖαι, ὧν τὰ μὲν τμήματα πόροι ἀκουστικοὶ δι᾽ ὧν ἀκούομεν, τὰ δὲ ἐκκρεμῆ καὶ σαρκώδη λοβοί· τὰ δὲ χονδρώδη καὶ ἀνωτάτω πτερύγια, ἕλικες δὲ τὰ ἐντεῦθεν συνάπτοντα τὴν περιφέρειαν· ἀνθέλικες δὲ τὰ ἐν μέσῳ ὑπεραίροντα μετὰ τὴν ἕλικα παρὰ τὴν κοιλότητα· κόγχη δὲ τὸ ἀπὸ τῆς ἀνθέλικος κοῖλον· τὸ δὲ ἐναντίον τῆς κόγχης ἔξαρμα παρὰ τὸ πέρας τοῦ κροτάφου τράγος· τὸ δὲ ἀντικρὺ τούτου παχὺ πέρας τῆς ἀνθέλικος ἀντίτραγος. στόμα δὲ ἡ πρώτη τομὴ τῶν χειλῶν καὶ ἡ λοιπὴ εὐρυχωρία πᾶσα μεχρὶ τῆς φάρυγγος. ἐν δὲ τῷ στόματι ἄλλα τε τινὰ ἐστὶ καὶ οἱ ὄδοντες, ὧν οἱ μὲν ἔμπροσθεν τομῆς καλοῦνται, ὀκτὼ τὸν ἀριθμὸν ὑπάρχοντες, κυνόδοντες δὲ οἱ μετ᾽ αὐτοὺς τέσσαρες, οἱ δὲ λοιποὶ πάντες εἴκοσι μύλαι προσαγορεύονται. τούτων δὲ οἱ ἔσχατοι καὶ

ἐνδοτέρω σωφρονιστῆρες τέτταρες, οἵτινες ἡνίκα ἀρχόμεθα φρονεῖν φύονται. τὰ δὲ τούτους περιέχοντα σαρκία οὖλα. ἡ δὲ σύνδεσις τῶν γνάθων χαλινὸς καλεῖται· τράπεζαι δὲ τὰ πλατέα τῶν γομφίων, ὁλμίσκοι δὲ καὶ φάτναι αἱ κοιλότητες τῶν γνάθων, εἰς ἃς ἐμπεπήγασιν οἱ ὄδοντες. τῆς δὲ γλώσσης ῥίζα μὲν ἡ ἔκφυσις, αὐχὴν δὲ τὸ ἐφεξῆς, πρόγλωσσον δὲ τὸ ἔμπροσθεν, παράσειρα δὲ τὰ ἑκατέρωθεν, ὑπογλωσσὶς δὲ τὸ ὑποκάτω, ἐπιγλωσσὶς δὲ τὸ ἔνδον ὑπὲρ τοῦ βρόγχου πῶμα γιγνόμενον τῆς τραχείας ἀρτηρίας, ὅταν τι καταπίνωμεν, πρὸς τὸ μηδὲν ἐμπίπτειν εἰς τὸν πνεύμονα, ἀναπνεόντων δὲ μετέωρόν ἐστιν, ὡς μὴ κωλύῃ τὴν τοῦ πνεύμονος ἄνοδον. οὐρανὸς ἢ ὑπερῴα τὸ ἄνω τῆς γλώσσης περιφερές· τὸ δὲ ἐντεῦθεν κατὰ τὰ ἔνδον μέρη ἐκκρεμάμενον σαρκίον κιονίς, οἱ δὲ γαργαρεῶνα, οἱ δὲ σταφυλήν· ὑπόκειται δὲ αὐτῇ ἡ τοῦ βρόγχου κεφαλή. ἐφεξῆς τράχηλος· τὸ δ' αὐτὸ καὶ δειρή. οὗ τὸ μὲν ἔμπροσθεν βρόγχος καὶ τραχεῖα ἀρτηρία, ἡ δὲ κατὰ μέσον ἐπανάστασις λάρυγξ, τὸ δὲ ὀπίσω αὐχὴν καὶ ἰνίον, τὸ δὲ πρὸς ταῖς κλεισὶ κοῖλον ἀντικάρδιον καὶ σφαγή. τὰ δὲ ἀπὸ τοῦ τένοντος ἐπὶ τοὺς ὤμους καθήκοντα ἐπωμίδες, ὦμοι δὲ αἱ κεφαλαὶ τῶν βραχιόνων, ὠμοπλάται δὲ τὰ ἐπικείμενα τῷ νώτῳ πλατέα ὀστᾶ, ὧν ἡ διὰ μέσου ὑπεροχὴ ῥαχίς. μασχάλη δὲ ἡ ὑπὸ τῷ ὤμῳ κοιλότης, ἑξῆς βραχίων. ἡ δὲ γωνία τοῦ ἄρθρου ἐπὶ ἣν κλινόμενοι στηριζόμεθα, ἀγκών, τὸ δ' ἐντεῦθεν πῆχυς. περαίνει δὲ πρὸς τὸν καρπόν, ἀφ' οὗ ἐστι τὸ μετακάρπιον, ἑξῆς στῆθος χειρός, οἱ δὲ ὑπόθεναρ, ὅ ἐστιν ὑπὸ τὸν μέγαν δάκτυλον, μεθ' ὃ ἡ κοιλότης τῆς χειρός. ὕπτιόν ἐστι σχῆμα χειρὸς ὅταν τὸ κοιλὸν μὲν αὐτῆς μέρος ἄνωθεν ᾖ, τὸ δὲ κυρτὸν κάτωθεν· πρανὲς δὲ τοὐναντίον τούτῳ. δακτύλων δ' ὁ μέν τις μέγας ὁ ἀφεστηκὼς τῶν ἄλλων, ὁ δὲ λιχανὸς ὁ πρῶτος τῶν τεττάρων, ὁ δὲ μέσος, ὁ δὲ παράμεσος,

ὁ δὲ μικρός. τούτων κόνδυλοι αἱ συγκαμπαί, ὧν τὰ πρῶτα προκόνδυλοι, τὰ δ' ἐφεξῆς μετακόνδυλοι. αἱ δὲ τῶν ὀνύχων ἀρχαὶ ῥιζωνυχίαι· τὰ δὲ πέρατα τῶν δακτύλων ῥῶγες ἢ κορυφαί. θέναρ δὲ τὸ μεταξὺ διάστημα τοῦ λιχανοῦ καὶ τοῦ μεγάλου δακτύλου. ἀπὸ δὲ τῶν κλειδῶν στῆθος μὲν τὸ ἔμπροσθεν καὶ στέρνον· νῶτον δὲ τὸ ὄπισθεν ἀπὸ τοῦ αὐχένος, ἐφ' ᾧ τὸ μετάφρενον· ὀσφὺς δὲ τὸ τελευταῖον τῆς ῥάχεως. αἱ δὲ ἐπὶ τῷ στήθει σαρκώδεις ἐπαναστάσεις μαστοί. πλευρὰ δὲ καλεῖται πᾶν τὸ ὑπὸ τῇ μασχάλῃ· τὰ δὲ ὀστᾶ πλευραὶ καὶ σπάθαι, ὧν αἱ πρῶται συνάπτονται ἀλλήλαις εἰς τὸ τέρμα τοῦ στέρνου καθ' ὃ ἡ καρδία ἐστιν. τὰ δὲ μεταξὺ τῶν πλευρῶν μεσοπλευρία. τῆς δὲ ῥάχεως τὰ ὀστᾶ σπόνδυλοι· ἡ δὲ πᾶσα σύνθεσις τῶν σπονδύλων ἄκανθα. βουβῶνες δὲ αἱ ἀρχαὶ τῶν μηρῶν, οἱ δὲ πρὸς τοῖς γόνασι μύες ἐπιγουνίδες. γόνυ δ' ἐστὶν τὸ ἄρθρον τοῦ μηροῦ τὸ πρὸς τῇ κνήμῃ, ἡ δὲ σύγκαμψις ἰγνύα. γαστροκνημία δ' ὁ μέγας μῦς ὁ ὄπισθεν τῆς κνήμης, ἀφ' οὗ τὸ πλατὺ νεῦρον τὸ πρὸς τῇ πτέρνῃ. τῶν δ' ὀστῶν τὸ μὲν ὀπίσω κνήμη, τὸ δ' ἔμπροσθεν μετακνήμιον, τὰ δὲ ἄκρα τὰ πρὸς τοῖς ποσὶ σφυρά. ἀστράγαλοι δ' οὐκ ὀρθῶς ὀνομάζονται· πτέρνα δὲ τὸ ὄπισθεν περιφερὲς τοῦ ποδός, τὸ δ' ἐφεξῆς κοῖλον, τὸ δὲ μετὰ τοῦτο καλεῖται πεδίον, οὗ τὸ ἐπάνω ταρσός. πέζα δ' ἡ πᾶσα θέσις τοῦ ποδός· δάκτυλοι δ' ὁμοίως τοῖς τῆς χειρὸς ὀνομάζονται.

Rufus *ap.* Oribasium iii. 383.

2

ΠΕΡΙ ΥΓΙΕΙΝΗΣ ΔΙΑΙΤΗΣ

τοὺς νηπίους τοὺς ἀπὸ τοῦ γάλακτος γεγονότας ἐν ἀνέσει τ' ἐᾶν καὶ παιδιᾷ, καὶ τῇ ψυχικῇ ῥᾳθυμίᾳ

κατεθίζειν αὐτούς, καὶ ταῖς μετὰ ἀπάτης καὶ ἱλαρότητος γυμνασίαις. καὶ τροφὰς αὐτοῖς προσφέρειν ἐλαφροτάτας καὶ τῷ πλήθει συμμέτρους· οἱ γὰρ διὰ τὸν ἀπογαλακτισμὸν ἐμφοροῦντες αὐτοῖς τὰς τροφάς, καὶ ταύτας πειρώμενοι πολυτροφωτέρας διδόναι, εἰς κακοτροφίαν καὶ ἀναύξειαν αὐτοὺς περιτρέπουσι διὰ τὴν τῆς φύσεως ἀσθένειαν. ἀπὸ δὲ τῶν ἓξ καὶ ἑπτὰ ἐτῶν τούς τε παῖδας καὶ τὰς κόρας γραμματισταῖς παραδιδόναι πραέσιν τε καὶ φιλανθρώποις· οἱ μὲν γὰρ προσαγόμενοι τὰ παιδία καὶ πειθοῖ καὶ παρακλήσει διδάσκοντες, πολλάκις δὲ καὶ ἐπαινοῦντες, ἐπιτυγχάνουσι καὶ προτρέπονταί τε αὐτοὺς μᾶλλον καὶ μετὰ χαρᾶς καὶ ἀνέσεως διδάσκουσιν· ἡ δὲ ἄνεσις καὶ χαρὰ τῆς ψυχῆς εἰς εὐτροφίαν σώματος μεγάλα συμβάλλεται· οἱ δ' ἐπικείμενοι τῇ διδασκαλίᾳ καὶ πικροὶ ταῖς ἐπιπλήξεσι, δουλοπρεπεῖς αὐτοὺς καὶ καταφόβους ποιοῦσι καὶ ἀλλοτρίους πρὸς τὰς μαθήσεις· δαίροντες γὰρ μανθάνειν καὶ μνημονεύειν ἀναγκάζουσιν ἐν αὐταῖς ὄντας ταῖς πληγαῖς, ὅτε καὶ τοῦ φρονεῖν ἔξω γεγόνασιν. οὐκ ἀναγκαῖον δὲ οὐδὲ δι' ὅλης τῆς ἡμέρας θλίβειν τοὺς ἀρτιμαθεῖς, μερίδα δὲ διδόναι παιδιᾷ αὐτῶν πλείονα· ὁρῶμεν γὰρ καὶ τῶν ἰσχυροτέρων καὶ τετελειωμένων ταῖς ἡλικίαις τοὺς ἐπιμελῶς καὶ ἀδιαλείπτως προσεδρεύοντας τοῖς μαθήμασι καταφθειρομένους τὰ σώματα. τοὺς δὲ δωδεκετεῖς τῶν παίδων πρός τε γραμματικοὺς φοιτᾶν ἤδη καὶ γεωμέτρας καὶ τὸ σῶμα γυμνάζειν· ἀναγκαῖον δὲ νουνεχεῖς εἶναι τούς τε παιδαγωγοὺς αὐτῶν καὶ τοὺς ἐπιστάτας, καὶ μὴ τελείως ἀπείρους, ὅπως τούς τε καιροὺς καὶ τὰς συμμετρίας ἴδωσι τροφῆς, γυμνασιῶν, λουτρῶν, ὕπνου, τῶν ἄλλων τῶν κατὰ τὴν δίαιταν· οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων ἱπποκόμους μὲν πλείονος ὠνοῦνται τοὺς ἐπιμελεῖς καὶ ἐμπείρους ἐκλεγόμενοι, παιδαγωγοὺς δὲ τῶν τέκνων ἂν καταστήσαιεν τοὺς ἀπείρους καὶ ἀχρήστους ἤδη γεγονότας

καὶ μηδὲν ἔτι δυναμένους ὑπηρετεῖν τῶν κατὰ τὸν βίον. ἀπὸ δὲ τῶν τεττάρων καὶ δέκα ἐτῶν μέχρι τῶν τριῶν ἑβδομάδων ἁρμόσει μαθημάτων ἄσκησις καὶ ἀνάληψις γνησιωτέρα καὶ φιλοσόφων λόγων κατήχησις καὶ ὑπομνηματισμός, καὶ τῶν ὑπομνηματισθέντων ἀνταπόδοσις ἐπιστρεφεστέρα. χρήσιμον δ' ἢ μᾶλλον ἀναγκαῖον πᾶσιν ἀνθρώποις ἀπὸ ταύτης τῆς ἡλικίας ἅμα τοῖς ἄλλοις μαθήμασι συμπαραλαμβάνειν καὶ τὴν ἰατρικὴν καὶ κατακούειν τὸν ταύτης λόγον, ἵνα καλοὶ κἀγαθοὶ σύμβουλοι γένωνται πολλάκις ἑαυτοῖς τῶν εἰς σωτηρίαν χρησίμων· σχεδὸν γὰρ οὐδεὶς καιρός ἐστιν οὔτε νυκτὸς οὔθ' ἡμέρας ἐν ᾧ χρείαν οὐδεμίαν ἔχομεν τῆς τέχνης, ἀλλὰ καὶ ἐν περιπάτῳ καὶ ἐν καθέδρᾳ καὶ ἀλείμματι καὶ λουτρῷ καὶ βρώσει καὶ πόσει καὶ ὕπνῳ καὶ ἐξεγέρσει καὶ πάσῃ πράξει, δι' ὅλου τοῦ βίου καὶ διὰ πάσης τῆς ζωῆς, χρείαν ἔχομεν συμβουλίας πρὸς τὴν ἀβλαβῆ καὶ συμφέρουσαν χρῆσιν αὐτῆς· τὸ δὲ ἀεὶ καὶ περὶ πάντων ἰατροῖς προσαναφέρειν κοπῶδες καὶ ἀδύνατον. τὰ μὲν οὖν περὶ ψυχῆς τοῖς τηλικούτοις τοῦτον οἰκονομεῖσθαι τὸν τρόπον· τὰ δὲ τοῦ σώματος γυμνάσια καὶ αὐτὰ ἔστω πλείονα διὰ τὴν ἰσχὺν τοῦ σώματος, ὅπως καὶ ψυχῇ καὶ σώματι πονοῦντες εὐθὺς ἀπὸ τῆς ἀρχῆς τὰς ὁρμὰς κωλύωσιν· οὐδὲν γὰρ οὕτως ἐγκοπτικὸν εἰς ἐπίδοσιν ψυχῆς καὶ σώματος ὡς τὸ κρατεῖσθαι ὑπὸ τῶν ὁρμῶν. συναιρετέον δὲ καὶ τὸν οἶνον ἐπὶ τούτων, ἅτε παρορμῶντα πρὸς τὰς ἀκολασίας. καθόλου δὲ οὐδὲν παραθεωρητέον οὔτε τῆς ψυχῆς οὔτε τοῦ σώματος ἀγύμναστον, ἀλλὰ πάντων ὁμοίως ἐπιμελητέον, ὅπως καὶ πρὸς τὸ γῆρας ὁλόκληροί τε ἀφικώμεθα καὶ πᾶσιν αὐτοῖς ὁλοκλήροις χρησώμεθα. τοῖς δ' ἀκμάζουσιν ἁρμόζει δίαιτα τελεία καὶ ψυχῆς καὶ σώματος· διὸ γυμνασίοις χρηστέον πᾶσι, μάλιστα δ' οἷς ἕκαστος εἴθισται, τροφαῖς δὲ ἱκαναῖς καὶ εὐτρόφοις. πειρᾶσθαι δὲ τὰς ὁρμὰς καταστέλλειν καὶ μὴ ταῖς

προθυμίαις ὑπερθέσθαι τὰς ἑαυτῶν δυνάμεις. τοῖς δὲ παρακμάζουσιν ἁρμόζει δίαιτα ὑφειμένη καὶ ψυχῆς καὶ σώματος, τά τε γυμνάσια ὁποῖά ποτ' ἂν ᾖ, κατὰ λόγον ἀεὶ τούτων ὑφαιρετέον, τῆς δυνάμεως αὐτῶν μειουμένης. καὶ τὰς τροφὰς ἐκ προσαγωγῆς συσταλτέον. τὸ δὲ γῆρας ἀκριβεστέρας μὲν διαίτης, περισσοτέρας δ' ἐπικουρίας δεόμενον τυγχάνει· αἱ γὰρ διασῴζουσαι ἡμᾶς δυνάμεις ψυχικαί τε καὶ φυσικαὶ μαραίνονται, καὶ τὰ τούτων ἔργα καταλύεται, καὶ τὸ σῶμα ῥακοῦται καὶ ἄτροφον καὶ χαῦνον καὶ ξηρὸν γίγνεται. ἄνωθεν μὲν οὖν ἀπὸ τῆς πρώτης ἡλικίας προνοητέον τοῦ γήρως χρόνῳ· ὡς γὰρ οἱ τὴν χλαῖναν ἐν τῷ θέρει κατατρίψαντες ἐν τῷ τρίβωνι τὸν χειμῶνα διάγουσιν, οὕτως οἱ ἐν τῇ νεότητι τὴν ῥώμην καταλύσαντες τὸν τοῦ γήρως χιτῶνα σφόδρα δυσκόλως φέρουσιν. ζηλωτέον δ' ἐν τῇδε τῇ ἡλικίᾳ μάλιστα πραότητι καὶ μεγαλοψυχίᾳ· ὁ γὰρ τοιοῦτος ἀβαρὴς καὶ ποθεινὸς παρὰ πᾶσι καὶ ἐπιμελείας τυγχάνει μετὰ εὐνοίας τινὸς καὶ συμπαθείας. σπουδάζειν δὲ καὶ τοὺς συζῶντας ἔχειν εὐαρεστουμένους καὶ μὴ ὀχληρούς, καὶ ἐν τόποις ἐπιτερπεστέροις διατρίβειν, καὶ καθόλου ζῆν μετὰ εὐθυμίας τὸν ἅπαντα χρόνον· τὸ γὰρ γῆρας ὥσπερ κεκοπιακὸς ἐν τῷ προεληλυθότι χρόνῳ, ἀναπαύσεως δεῖται. ἄριστον δὲ γῆρας τῶν ἐν παιδείᾳ καὶ μαθήσει λογικῇ διαφερόντων, διὰ τὴν προσοχὴν καὶ τὴν νῆψιν τῆς διαίτης, καὶ διὰ τὴν τῆς ψυχῆς εὐστάθειαν. πηλίκον δὲ χάρμα καὶ πόσον ἔπαρμα ψυχὴ λαμβάνει, συζητοῦσα τοῖς προγενεστέροις τῶν φιλοσόφων τε καὶ ἰατρῶν καὶ τοῖς ἄλλοις τοῖς προισταμένοις τῶν ἐγκυκλίων μαθημάτων, καὶ παρεγχειροῦσα τούτοις πολλάκις;

Athenaios *ap.* Oribasium iii. 161.

3

ΥΓΙΕΙΝΗ ΔΙΑΙΤΑ

καλῶς ἔχει τὸν νέον καὶ ἀκμάζοντα μικρὸν πρὸ ἡλίου ὅσον διελθεῖν στάδια δέκα, θέρους δὲ ὅσον πέντε, τὸν δὲ πρεσβύτερον ἐλάσσω τούτων καὶ θέρους καὶ χειμῶνος. διυπνισθέντα δὲ μὴ εὐθὺς ἀνίστασθαι, μένειν δὲ ἕως ἂν τὸ δυσκίνητον καὶ νωχελὲς τὸ ἐκ τῶν ὕπνων γιγνόμενον ἐκλείπῃ. μετὰ δὲ τὴν ἀνάστασιν ἁρμόττει πρὸς τοὺς τραχηλισμοὺς τοὺς ὑπὸ τῶν προσκεφαλαίων γιγνομένους ἀνατρίβεσθαι τὸν τραχηλὸν καὶ τὴν κεφαλὴν εὖ καὶ καλῶς· ἔπειτα βέλτιόν ἐστιν ἤδη τρίβεσθαι τὸ σῶμα πᾶν μετὰ ἐλαίου μικροῦ, τοῦ μὲν θέρους ὕδατος μειγνυμένου, τοῦ δὲ χειμῶνος ὡς ἔχει, χρόνον μὴ ὀλίγον, καὶ μαλακῶς δὲ καὶ ὁμαλῶς, τὸ ὅλον ἐκτείνοντα καὶ συγκάμπτοντα καὶ πολλάκις πάντα τὰ ἐνδεχόμενα τοῦ σώματος· ἄμεινον γὰρ ἄν τις καὶ πρὸς ὑγίειαν καὶ πρὸς πάντα πόνον οὕτως εἴη διακείμενος. μετὰ δὲ ταῦτα τὸ μὲν πρόσωπον καὶ τοὺς ὀφθαλμοὺς ὕδατι ψυχρῷ καὶ καθαρῷ προσκλύζειν καὶ ἀπονίζειν καθ' ἑκάστην ἡμέραν καθαραῖς ταῖς χερσίν, τὰ δὲ οὖλα πρὸς τοὺς ὄδοντας ἢ τοὺς ὄδοντας οὕτως τοῖς δακτύλοις αὐτοῖς, γλήχωνος τετριμμένης ὁμοῦ λείας, παρατρίβειν, καὶ ἐντὸς καὶ ἐκτός, καὶ ἀποσμᾶν τὰ προσκαθημένα αὐτοῖς ἀπὸ τῶν σιτίων, τὴν δὲ ῥῖνα καὶ τὰ ὦτα διαχρίειν καὶ λιπαίνειν ἔσωθεν ἀμφότερα, μάλιστα μὲν μύρῳ ἡδεῖ, εἰ δὲ μὴ ἐλαίῳ ὡς καθαρωτάτῳ καὶ εὐωδεστάτῳ· καὶ ἔσωθεν καὶ ἔξωθεν ἀλείφειν ταῖς χερσὶ πλατείαις. οὐχ ἥκιστα δὲ τῆς κεφαλῆς ἐπιμελεῖσθαι δεῖ· θεράπεια δὲ τῆς κεφαλῆς ἐστίν, ὡς οὕτως εἰπεῖν, τρίψις καὶ χρίσις καὶ σμῆξις καὶ κτενισμὸς καὶ ἐν χρῷ κουρά. δεῖ δὲ τρίβειν καὶ

ἀλείφειν αὐτὴν καθ' ἑκάστην ἡμέραν, σμᾶν δὲ καὶ κτενίζειν διά τινων χρόνων. ποιεῖ δὲ ἡ μὲν τρίψις τὸ δερμάτιον ἰσχυρότερον, ἡ δὲ χρίσις μαλακώτερον, ἡ δὲ σμῆξις τοὺς πόρους καθαρωτέρους καὶ εὐπνοωτέρους, ὁ δὲ κτενισμὸς ἀναξύων καὶ ὁμαλὸν ποιῶν τὸ περὶ τὰς τρίχας ἐκκαθαίρει καὶ περιαιρεῖ τὰ ἐνοχλοῦντα. μετὰ δὲ τὴν εἰρημένην ἐκ τῶν ὕπνων ἐπιμέλειαν, τοὺς μὲν ἕτερόν τι πράττειν ἀναγκαζομένους ἢ προαιρουμένους ἐπὶ τοῦτο ὑποχωρεῖν εὖ ἔχει· τοὺς δὲ σχολάζοντας προπεριπατεῖν ἁρμόζει τὸ σύμμετρον τῇ ῥώμῃ τῆς δυνάμεως. συμφέρει δὲ μετὰ τὸν περίπατον καθεζόμενον οἰκονομεῖν τι τῶν καθ' αὑτὸν ἕκαστον, ἕως ἂν ὥρα γένηται τραπέσθαι πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν. καλῶς δὲ ἔχει γυμνάζεσθαι τοὺς μὲν νέους εἰς τὸ γυμνάσιον ἀποχωρήσαντας, τοὺς δὲ πρεσβυτέρους καὶ ἀσθενεστέρους εἰς βαλανεῖον ἢ εἰς ἄλλην ἀλέαν χρίεσθαι. ἀπόχρη δὲ τοῖς τηλικούτοις τρίψις μετρία καὶ μικρὰ κίνησις τοῦ σώματος. τρίβεσθαι δὲ βέλτιόν ἐστι τὸν τρίψεως δεόμενον μήτε κεχρισμένον πολὺ μήτε ξηρὸν παντελῶς, ἀλλὰ ὑπαλειψάμενον καὶ τριψάμενον ὁμαλῶς, ἔπειτα περιξυσάμενον λουτρῷ ἁρμόττοντι χρήσασθαι, τοὺς δὲ ἀσθενεῖς καὶ σφόδρα πρεσβύτας ἀλείφεσθαι μὲν λιπαρῶς καὶ ὁμαλῶς, τρίβεσθαι δ' αὐτὸν ὑφ' ἑαυτοῦ τὰ πλεῖστα βέλτιόν ἐστιν· ἅμα γὰρ τῇ τρίψει, καὶ γυμνάζεσθαι τὸ σῶμα συμβαίνει δι' ἑαυτοῦ κινούμενον· τὸ δ' ὑφ' ἑτέρου τρίβεσθαι διὰ παντὸς τοῖς κοπιῶσι καὶ τοῖς ἀσθενεστέροις καὶ ῥᾳθυμότερον ἔχουσι πρὸς τὰ γυμνάσια δεῖ μάλιστα ἀπονέμειν. μετὰ δὲ τὴν θεράπειαν τοῦ σώματος ἐπ' ἄριστον ἀποχωρεῖν· οὐκ ἄδηλον δὲ ὅτι καὶ τὸ ἄριστον καὶ πᾶσαν ἁπλῶς τὴν δίαιταν ἁρμόσει τοῦ μὲν θέρους εἶναι μὴ θερμαντικήν, μηδὲ ξηραντικήν, τοῦ δὲ χειμῶνος μήτε ψυκτικὴν μήτε ὑγραντικήν, τοῦ δ' ἔαρος καὶ τὸ μετοπώρου μέσον τι ἔχουσαν. τοῖς μὲν

οὖν εὐόγκως βουλομένοις διάγειν, τοῦ θέρους ἄριστον ἀποχρῶν ἐστι καὶ πρὸς ὑγίειαν καὶ πρὸς τὸ διημερεύειν ἱκανῶς, ἄλφιτον λευκὸν χρήσιμον μέτριον ἐπὶ οἴνῳ λευκῷ εὐωδεῖ καὶ μέλιτι μὴ πολλῷ καὶ ὕδατι κεκραμένῳ, ἢ ἕψημά τι τῶν εὐπέπτων καὶ τροφίμων, καὶ οὕτω καὶ μετὰ μέλιτος μικροῦ, μὴ θερμόν. τῷ δὲ μηδὲν προσιεμένῳ τοιοῦτον ἄρτον ἀριστᾶν ἁρμόττει, ψυχρόν, τοσοῦτον ὅσον ἔσται πρὸ τοῦ δειλινοῦ γυμνασίου καταπέψαι δυνατός. ὄψον δὲ ἕξει λάχανον ἑφθὸν ἢ κολοκύντην ἢ σίκυον ἢ ἄλλο τι πρὸς τὴν παροῦσαν ὥραν μὴ ἀναρμόστων ἡψημένον ἁπλῶς. πίνειν δὲ λευκὸν οἶνον ὑδαρέστερον ἄχρι τοῦ μὴ διψῆσαι. πρὸ δὲ τοῦ λαμβάνειν τὸ σιτίον προπίνειν ὕδωρ μέν, ἂν διψῇ τις, πλεῖον, εἰ δὲ μή, ἔλαττον. μετὰ δὲ τὸ ἄριστον μὴ πολὺν διατρίψαντα χρόνον καταδαρθεῖν ἐν σκοτεινῷ τόπῳ καὶ χωρὶς πνεύματος. ἐγερθέντα δὲ οἰκονομεῖν τι τῶν ἰδίων καὶ περιπατεῖν, περιπατήσαντα δὲ καὶ μικρὸν προδιαναπαύσαντα πρὸς τὸ γυμνάσιον ἀποχωρεῖν. καὶ τοῖς μὲν ἰσχυροτέροις καὶ νεωτέροις, γυμνασαμένους καὶ κονισαμένους τῷ ψυχρῷ λούεσθαι καλῶς ἔχει· τοὺς δὲ πρεσβυτέρους καὶ ἀσθενεστέρους ἀλειψαμένους καὶ μικρὸν τριψαμένους λούεσθαι θερμῷ, τὴν κεφαλὴν μὴ βρέχοντας. ὁμοίως δὲ πᾶσι τοῖς ὑγιαίνουσι θερμῷ λούσασθαι τὴν κεφάλην ὀλιγάκις ἢ οὐδέποτε ἁρμόττει· τοῖς δὲ πρεσβυτέροις οὐδὲ βρέχειν πολλάκις βέλτιόν ἐστιν, ἀλλὰ διά τινων χρόνων χρίεσθαι τῷ ἐλαίῳ, μίσγοντας τοῦ μὲν θέρους ὕδωρ, τοῦ δὲ χειμῶνος οἶνον. ὡς μέγιστον καὶ βέλτιστον καὶ ἀλειψαμένους ἐκμάττεσθαι καθαρῶς, ἢ ἀποσμᾶσθαι καὶ ψυχρῷ μετρίως ἐκκλύζεσθαι καὶ μετὰ τὸ ὑγρᾶναι ἀλείφεσθαι. πρὸς δὲ τὰ σιτία δεῖ βαδίζειν κενοὺς καὶ μηδὲν ἄπεπτον ἔχοντας τῶν βρωθέντων πρότερον. δειπνεῖν δὲ καλῶς ἔχει τοῦ θέρους μικρὸν πρὸ ἡλίου δυσμῶν καὶ ἄρτον καὶ

λάχανα καὶ μᾶζαν. λάχανα δὲ ὠμὰ μὲν προεσθίειν πλὴν σικύου καὶ ῥαφάνου· ταῦτα δὲ τελευταῖα· τὰ δὲ ἑφθὰ λαμβάνειν ὑπὸ πρῶτον τὸ δεῖπνον. ἰχθῦς δ' ἐσθίειν τῶν μὲν πετραίων τοὺς σαρκώδεις καὶ ψαθυρούς, τῶν δ' ἄλλων τοὺς εὐχυλοτάτους, καὶ πλέον τοὺς ἑφθούς· κρέα δὲ ἐρίφεια καὶ ἄρνεια τῶν νέων πάνυ, ὕεια δὲ τῶν ἀκμαζόντων, ὀρνίθεια δὲ τὰ τῶν ἀλεκτορίδων ἢ περδίκων ἢ περιστερῶν ἢ φαττῶν νεοττῶν, ἑφθὰ πάντα λιτῶς. λαμβάνειν δὲ καὶ τῶν ἄλλων ἐδεσμάτων οὐδὲν ἂν κωλύοι τὰ πρὸς ἡδονήν, ὅσα μὴ τοῖς προειρημένοις ἐναντίας ἔλαχε δυνάμεως. προπίνειν δὲ πρὸ τοῦ δείπνου καὶ πίνειν μέχρι τινὸς ὕδωρ· ἔπειτα τοὺς μὲν ἰσχνοὺς μέλανα λεπτὸν οἶνον, μετὰ δὲ τὸ δεῖπνον λευκόν, τοὺς δὲ εὐσάρκους διὰ τέλους λευκόν, ὑδαρέστερον δὲ πάντας· πλῆθος δὲ ὅσον ἑκάστῳ γίγνεται πρὸς ἡδονήν. ἀκρόδρυα δὲ δύσχρηστα μέν ἐστι πάντα, ἥκιστα δ' ἐνοχλεῖ ἐάν τις μετρίως λάβῃ πρὸ τῶν σιτίων. τῆς δ' ὀπώρας τὰ μὲν σῦκα περιελόντας τὸ δέρμα καὶ τὸν ὀπὸν περιπλύναντας καὶ βρέξαντας ἐν ὕδατι ψυχρῷ βέλτιόν ἐστι λαμβάνειν· σταφυλὴν δὲ λευκὴν ἐν τῷ δειπνῷ· τραγήματα δὲ ἐρεβίνθους λευκοὺς βεβρεγμένους ἢ ἀμύγδαλα καθαρὰ βεβρεγμένα. μετὰ δὲ τὸ δεῖπνον, τοὺς μὲν ἰσχνοὺς καὶ φυσώδεις καὶ μὴ ῥᾳδίως τὰ σιτία πέττοντας καθεύδειν εὐθύς, τοὺς δὲ λοιποὺς ὀλίγον καὶ βραδέως περιπατήσαντας ἀναπαύεσθαι. κεκλίσθαι δὲ παντὶ βέλτιόν ἐστιν ἐπὶ τὴν ἀριστέραν πλευράν, μεταβάλλειν δὲ καὶ ἐπὶ τὴν δεξιάν· κατακεκλίσθαι δὲ μήτε τεταμένον λίαν μήτε συγκεκαμμένον. ὕπτιον δὲ καθεύδειν οὐδενὶ βέλτιόν ἐστι· δύσπνοια γὰρ καὶ πνιγμοὶ καὶ ἐπιληπτικὰ καὶ ἐξονειριασμοὶ μάλιστα συμβαίνουσι τοῖς οὕτω καθεύδουσιν. ἐγρηγορεῖν δὲ κατακειμένοις ὑπτίοις τὸ μὲν γίγνεται κατὰ τρόπον, τὸ δ' οὔ· τὰ μὲν γὰρ σκέλη καὶ αἱ χεῖρες

κατὰ εὐθυωρίαν κείμενα τοῦ σώματος πρὸς τὸ συγκάμπτειν καὶ ἐκτείνειν καὶ συνάγειν καὶ διοίγειν εὖ ἔχει, καὶ πρὸς τὸ τὰ δεξιὰ τοῖς ἀριστέροις ὁμοίως κεῖσθαι, καὶ μὴ τὰ ἕτερα θλίβεσθαι ὑπὸ τῶν ἑτέρων· ἡ δὲ ῥάχις πονεῖ διὰ τέλους ἐκτεταμένη διὰ τὸ μὴ δυνατὸν εἶναι συγκάμπτειν αὐτὴν κατακειμένοις οὕτως. ἐγείρεσθαι μὲν καὶ ἀνίστασθαι τοὺς μὲν φυσώδεις ὀψέ, τοὺς δ' ἄλλους ἅμα τῇ ἡμέρᾳ. τοῖς μὲν οὖν πλείστοις τῶν ὑγιαινόντων τοιαύτη τις διαγωγὴ μάλιστα ἂν ἁρμόσειεν· τοῦ δὲ χειμῶνος, ὅτε πλείω τοῦ θέρους τοὺς περιπάτους καὶ τὰ λοιπὰ γυμνάσια συντονώτερα δεῖ ποιεῖσθαι, κατὰ μικρὸν προσάγοντας, τὸ ἐπὶ πλέον εὐλαβουμένους, εἴρηται πρότερον. ἀλείμμασι δὲ μᾶλλον χρῆσθαι ἢ λουτροῖς· λουτροῖς δὲ ἐνίοτε ψυχροῖς, καὶ μᾶλλον ἐν ταῖς θερμημερίαις, θερμῷ δὲ τοὺς κοπιῶντας καὶ τοὺς ἀφιδρώσεως δεομένους. καὶ τοὺς μὲν εὐσάρκους καὶ ὑγροὺς ἁρμόττει τε μονοσιτεῖν ἀρξαμένους ἀπὸ πλειάδος δύσεως μέχρι ἐπιτολῆς· τοὺς δὲ λοιποὺς ἀριστᾶν ἁρμόττει μικρὸν ὄψον ἐσθίοντας, ἢ μέλι μέτριον ἢ οἶνον γλυκύν, πίνειν δὲ μηδέν, ἢ μικρὸν μετὰ τὸ ἄριστον οἰνάριον λεπτόν, ἀτρεμῆ, μαλακόν, κεκραμένον μετρίως, ἔπειτα καταδαρθεῖν ἀλεαίνοντας, μὴ πολὺν δὲ χρόνον· ἐγερθέντα δὲ ὥσπερ τοῦ θέρους τὰ οἰκεῖα πράττειν, τὸ δὲ λουτρὸν τὸ θερμὸν ἐᾶν, γυμνασαμένους δὲ δειπνεῖν συσκοτάζοντος, ἀλεαίνοντας μετὰ πυρός, τοὺς μὲν μικροὺς καὶ εὖ πρὸς μᾶζαν ἔχοντας ἀμφότερα, πλείω δὲ τὸν ἄρτον, τοὺς δὲ λοιποὺς ἀφαιρεῖν τὴν μᾶζαν. λάχανα δὲ τοῦ χειμῶνος μᾶλλον ἢ τοῦ θέρους ἐσθίειν ἁρμόττει. μάλιστα δ' εὐθετεῖ τῶν ὠμῶν πήγανον, εὔζωμον, ῥάφανος τελευταία λαμβανομένη· τῶν δ' ἑφθῶν κράμβη, λάπαθον, γογγύλη. τὰ δ' ἄγρια, καὶ τὰ ὠμὰ τῶν ὠμῶν καὶ τὰ ἑφθὰ τῶν ἑφθῶν, οὐ χείρω τὰ χειμερινὰ τῶν θερινῶν ἐστιν. ἁρμόττει δὲ καὶ τὰ σκόροδα καὶ τὰ

κρόμμυα καὶ ὁ τάριχος καὶ τὰ ἔτνη, καὶ ἡ φακῆ μάλιστα, ταύτην τὴν ὥραν, καὶ τῶν ἄλλων ὄψων μᾶλλον τὰ ὀπτὰ τῶν ἑφθῶν, καὶ ὅλως τὰ ξηροτέρα τῶν ὑγροτέρων· χειμερινὸν δὲ καὶ τὸ κάρδαμον καὶ σίναπι μᾶλλόν ἐστιν. πίνειν δ' ἐν μὲν τῷ δείπνῳ οἶνον μέλανα, λεπτόν, ἡσυχῇ, μαλακόν, μὴ νέον, κιρνάμενον μικρὸν ἀκρατέστερον. ἁρμόττει δὲ ταύτην τὴν ὥραν ἀμύγδαλα πεφρυγμένα, μύρτα, βάλανοι ὀπτοί, κάρυα πλατέα καὶ ἑφθὰ καὶ ὀπτά. ὃν μὲν οὖν τρόπον δεῖ ζῆν τοῦ θέρους καὶ τοῦ χειμῶνος ἐπὶ πλέον εἴρηται· τοῦ δ' ἦρος καὶ τοῦ φθινοπώρου δῆλον ὡς μέση δίαιτα τῶν εἰρημένων μάλιστα ἁρμόττει. φυλάττεσθαι δ' ἀεὶ δεῖ τά τ' ἀήθη καὶ τὰ ἰσχυρὰ καὶ δύσπεπτα τῶν βρωμάτων καὶ τὰ πολλὰ λίαν· παρὰ γὰρ τὸ πλῆθος οὐχ ἧττον ἢ παρὰ τὰς μοχθηρίας ἐνίοτε τῶν ἐσθιομένων ἐνοχληθείη μᾶλλον ἄν τις. μὴ προχείρως δὲ πίνειν ἄηθες ὕδωρ· μοχθηρὸν γὰρ καὶ ἐπισφαλές ἐστιν· ἀλλὰ μετὰ μέλιτος ἢ οἴνου ἢ ὄξους ἢ ἀλφίτων καὶ ἁλῶν. ψυχρὸν δ' ἰσχυρῶς ὕδωρ καὶ πάμπολυ πόμα ἀθρόον πίνειν κινδυνῶδές ἐστι, καὶ μάλιστα τοῖς πεπονηκόσι καὶ ἡλιουμένοις ἔτι θερμοῖς οὖσιν· μέγιστον δὲ πρὸς ὑγίειάν ἐστι τὸ μηδὲν κρεῖττον γενέσθαι τῆς τοῦ σώματος φύσεως. ἅμα δὲ ταῖς ὥραις μεταβαλλούσαις καὶ τὴν ἄλλην διαγωγὴν μεταβάλλειν, κατὰ μικρὸν εἰς τοὐναντίον ἀπονεύοντα, καὶ μὴ μεγάλην ἐξαπίνως ποιούμενον μεταβολήν.

Diocles *ap.* Oribasium iii. 168.

4

ΠΕΡΙ ΣΦΑΙΡΑΣ

τὸ ἀπὸ τῆς σφαίρας γυμνάσιον εὐκινητοτέρους τοὺς χρωμένους ἀπεργάζεται καὶ τὰς ζωτικὰς ἐνεργείας

ῥώννυσιν. διαφοραὶ δ' αὐτοῦ παρὰ τὰς διαφορὰς τῆς σφαίρας· ἡ μὲν γάρ ἐστι μικρά, ἡ δὲ μεγάλη, ἡ δὲ μέση, ἡ δ' εὐμεγέθης, ἡ δὲ κενή. τῆς δὲ μικρᾶς ἐν μεγέθει εἴδη τρία, καθ' ἕκαστον δὲ τῶν εἰδῶν ἓν γυμνάσιον. ἡ μὲν γάρ ἐστι σφόδρα μικρά· γυμνάζονται δ' αὐτῇ συνερείσαντες μάλιστα τὰ σώματα οἱ συσφαιρισταὶ τάς τε χεῖρας ταῖς χερσὶ συσφαιριζούσας ἐγγυτάτω καταστήσαντες· καί ἐστι τὸ ἀπ' αὐτῆς γυμνάσιον σκέλεσι μὲν ἐπιτηδειότατον, ἅτε μετὰ ἐντάσεως γιγνόμενον τῶν σκελῶν, χρήσιμον δὲ καὶ μεταφρένῳ καὶ πλευραῖς τεθηλυσμέναις καὶ αὐτοῖς βραχίοσιν. ἄλλο δὲ σφαιρίον, ὀλίγῳ τοῦδε μεῖζον, ᾧ χρῶνται, τοὺς μὲν πήχεις τοῖς πήχεσι τῶν γυμναζομένων ἐπιβάλλοντες, οὔτε τοῖς σώμασιν ἐγχριμπτόμενοι τοῖς ἀλλήλων, οὔτε προσνεύοντες, ποικίλως δὲ καὶ κινούμενοι καὶ μεταβαίνοντες διὰ τοὺς μετασφαιρισμούς. καί ἐστι κάλλιστον τῶν ἀπὸ σφαίρας τόδε τὸ γυμνάσιον, ὅτι καὶ τὸ σῶμα ὑγιὲς καὶ εὐκίνητον μετὰ ῥώμης παρέχεται, καὶ τὴν ὄψιν τονοῖ, καὶ οὐδὲ κεφαλὴν συμπληροῖ. τρίτον δὲ σφαιρίον μεῖζον τοῦδε, ᾧ σφαιρίζουσιν ἐξ ἀποστήματος διεστῶτες· τούτου δὲ τὸ μὲν στάδιόν ἐστι, τὸ δὲ δρομικόν· οἱ μὲν γὰρ ἑστῶτες ἀφιᾶσι τὴν σφαῖραν μετὰ σφοδρότητος καὶ συνεχείας, καὶ ὀνίνανται βραχίονάς τε καὶ ὄμματα. τὸ δὲ δρομικὸν βραχίονας μὲν καὶ ὄψιν ὁμοίως ὀνίνησι τῷ προειρημένῳ, ὠφελεῖ δὲ καὶ σκέλη διὰ τὸν δρόμον, καὶ ῥάχιν διὰ τὰς γιγνομένας ἐν τῷ δρόμῳ καμπάς. ταῦτα μὲν περὶ τῆς μικρᾶς σφαίρας· τὸ δὲ ἀπὸ τῆς μεγάλης σφαίρας γυμνάσιον οὐ μόνον διαφέρει διὰ τὸ μέγεθος αὐτῆς τῶν προειρημένων, ἀλλὰ καὶ παρὰ τὸ σχῆμα τῶν χειρῶν· ἐν μὲν γὰρ ἐκείνοις πᾶσιν ἀεὶ τῶν ὤμων ἐν ταπεινοτέρῳ σχήματί εἰσιν αἱ χεῖρες ἄκραι· ἐν δὲ τούτῳ τῆς κεφαλῆς ὑψηλότεραι· διὰ τοῦτο καὶ ἡ λαγὼν ἀνακλίνεται κατὰ τοῦτο τὸ

γυμνάσιον. ἐνίοτε καὶ ἐπ' ἄκρων βαίνουσι τῶν ποδῶν, ὑψῶσαι τὴν χεῖρα πειρώμενοι· ἄλλοτε δὲ καὶ ἐξάλλονται, τῆς σφαίρας ὑπερπετοῦς φερομένης. ἡ δ' ὑπερμεγέθης σφαῖρα τοὺς μὲν βραχίονας ἐν τῷ βάλλεσθαι τονοῖ· βάλλεται δὲ διὰ τὸ μέγεθος ἀμφοτέραις ταῖς χερσίν· πληγὰς δ' ἀτεράμνους ἔχουσα οὐ μόνον τοῖς νοσοῦσιν ἢ τοῖς ἐκ νόσου ἀναλαμβάνουσιν ἄχρηστος, ἀλλ' ὁμοῦ τι καὶ τοῖς ὑγιαίνουσιν. ἡ δὲ κενὴ σφαῖρα, ἥτις καὶ θύλακος προσαγορεύεται, γυμνάζει μὲν παραπλησίως τῷ δρομικῷ, οὐ πάνυ δ' εὔκολον οὐδ' εὔσχημον.

5

ΠΕΡΙ ΠΑΛΗΣ

ἡ μὲν σύντονος πάλη πνεύματος εὐτονίαν καὶ ἰσχὺν ἐργάζεται, καὶ τὸ σῶμα στερεὸν καὶ μυῶδες, νεῦρά τε κρατύνει, καὶ τὰ αἰσθητήρια παροξύνει, καὶ τὰς φυσικὰς ἐνεργείας ἐπιρρώννυσιν· σάρκα δὲ πυκνὴν μὲν καὶ ναστήν, ὀλίγην δὲ παντάπασι περιβάλλει· πιμελῆς δὲ καὶ οἰδημάτων καὶ ὄγκων καταλυτική· θώρακι δὲ ἀνάρμοστος. ἡ δὲ πραεῖα, σαρκὸς πολλῆς κατασκευαστική. ἔτι δ' ἡ μὲν ὄρθιος πάλη ὠφέλιμος κεφαλῇ καὶ θώρακι, καὶ τονοῖ τὰ νεῦρα. ἡ δ' ἐπὶ τοῦ ἐδάφους ὀνίνησιν ὀσφὺν καὶ γόνατα.

6

ΠΕΡΙ ΣΚΙΑΜΑΧΙΑΣ

σκιαμαχία δὲ χρήσιμος εἰς τὸ κοπώδη τε διάθεσιν παῦσαι, καὶ ὤμους τονῶσαι, καὶ νεύρων ἀκράτειαν καὶ τρόμον καταστῆσαι. δεῖ δὲ μὴ μόνον ταῖς χερσὶ σκιαμαχεῖν, ἀλλὰ καὶ τοῖς σκέλεσι, ποτὲ μὲν ὥσπερ ἁλλομένοις, ποτὲ δ' ὥσπερ λακτίζοντας.

7

ΠΕΡΙ ΧΕΙΡΟΝΟΜΙΑΣ

ὀρχήσεως καὶ σκιαμαχίας μεταξὺ χειρονομία ἐστίν· χρήσιμος δ' ἐπὶ τῶν αὐτῶν ἐφ' ὧν σκιαμαχία· προκριτέα δ' ἐπὶ παίδων καὶ γυναικῶν καὶ γερόντων καὶ τῶν σφόδρα ἰσχνῶν καὶ ἀρρώστων τὸ σῶμα.

8

ΠΕΡΙ ΑΦΑΛΜΟΥ ΚΑΙ ΕΞΑΛΜΟΥ

διαφέρει τὸ ἀφάλλεσθαι καὶ τὸ ἐξάλλεσθαι· ἡ μὲν γὰρ ἄφαλσις δρόμῳ προσέοικεν, ἐν τῷ αὐτῷ τόπῳ μένοντος τοῦ σώματος μετὰ τοῦ κάμπτειν τὰς ἰγνύας· ὁ δ' ἐξαλμὸς κομιδὴ σκελῶν ἐστι συνεχής. παράκειται δὲ τούτοις τὸ πρὸς πυγὴν ἄλλεσθαι· τοῦτο δ' ἐστὶν ἄφαλσις, καμπτομένων τῶν σκελῶν, ὥστε τὰς πτέρνας τῶν πυγῶν προσάπτεσθαι, ποτὲ μὲν ἐναλλὰξ τῶν σκελῶν ἀναλακτιζόντων, ποτὲ δ' ἀμφοτέρων ἅμα.

9

ΠΕΡΙ ΙΠΠΑΣΙΑΣ

τῆς ἱππασίας ὀλίγη χρῆσίς ἐστιν ἐπὶ νοσούντων· εἰ μὲν γὰρ ἠρέμα ὁ ἵππος ἐλαύνοιτο, οὐδὲν ἂν πλέον παρέχοι πλὴν κόπου, καὶ μάλιστα βουβώνων· εἰ δὲ σφόδρως ἐλαύνοιτο, κλονεῖ μὲν ἅπαν τὸ σῶμα ἐπιπόνως· ὅμως δ' ἔχει τι χρήσιμον. τονοῖ γὰρ ὑπὲρ πάντα τἄλλα γυμνάσια τὸ σῶμα καὶ μάλιστα τὸν στόμαχον, καθαίρει δὲ τὰ αἰσθητήρια καὶ ὀξύτερα ἐργάζεται· θώρακι δὲ κάκιστον γυμνάσιον.

10

ΠΕΡΙ ΝΗΞΕΩΣ

ὀλίγοις μὲν τῶν χρονίων παθῶν ἡ νῆξις ἁρμόδιος καὶ ὀλιγάκις· καὶ δύναται ἰσχναίνειν, διαφορεῖν, τονοῦν, θερμαίνειν, λεπτύνειν, δυσπάθειαν παρασκευάζειν. ἡ μὲν οὖν ἐν θαλάττῃ, ἡ δ' ἐν τοῖς γλυκέσιν ὕδασιν.

11

ΠΕΡΙ ΚΩΡΥΚΟΥ

κώρυκος ἐμπίμπλαται κεγχραμίδων ἢ ἀλεύρων ἢ ψάμμου· τὸ δὲ μέγεθος αὐτοῦ πρός τε δύναμιν καὶ ἡλικίαν συναρμοζέσθω. κρεμάννυται δ' ἐν τοῖς γυμνασίοις ἄνωθεν ἐξ ὀροφῆς, ἀπέχων τῆς γῆς τοσοῦτον ὥστε τὸν πυθμένα κατὰ τὸν ὀμφαλὸν εἶναι τοῦ γυμναζομένου. τοῦτον διὰ χειρῶν ἔχοντες ἀμφοτέραις αἰωροῦσιν οἱ γυμναζόμενοι, τὴν μὲν πρώτην ἡσύχως, ἔπειτα σφοδρότερον, ὥστε καὶ ἐπεμβαίνειν ἀποχωροῦντι αὐτῷ, καὶ πάλιν προσιόντος ὑπείκειν ἐξωθουμένους ὑπὸ τῆς βίας· τὸ δὲ τελευταῖον ἀφιᾶσιν αὐτόν, ἔξω τῶν χειρῶν ἀπώσαντες, ὥστε ὑποστρέψαντα σφοδρότερον ἐμπίπτειν τῷ σώματι· τὰ δ' ὕστατα ἐπὶ πλεῖστον αἰκίσαντες αὐτὸν ἀποπέμπουσιν, ὥστε ἐκ τῆς προσόδου, εἰ μὴ σφόδρα προσέχοιεν, ἀποστρέφεσθαι. ποτὲ μὲν οὖν ταῖς χερσὶν ἀντιβαίνουσιν αὐτῷ προσιόντι, ποτὲ δὲ τῷ στέρνῳ, τὰς χεῖρας ἀναπετάσαντες, ἄλλοτε δ' ἀναστρέφοντες κατὰ μετάφρενον.

12

ΠΕΡΙ ΑΛΤΗΡΙΟΒΟΛΙΑΣ

σκληρὸν γυμνάσιον ἁλτηρίων βολή. διαφορὰ δ' ἐστὶν αὐτῶν τῶν ἁλτήρων· ἢ γὰρ βάλλονται, παρὰ

μέρος τῶν χειρῶν ἐκτεινομένων τε καὶ συγκαμπτομένων· ἢ κρατοῦνται μόνον, ἐν προτάσει τῶν χειρῶν ἡσυχαζουσῶν, ὡς τὰ πολλὰ βραχεῖάν τε κίκησιν κινουμένων, αὐτῶν τε τῶν γυμναζομένων ἐμβαινόντων καὶ ἀνασειόντων ταῖς πύκταις ὁμοίως· ἢ κατὰ σύννευσιν τῆς ῥάχεως ταῖς χερσὶ παρεγκαμπτόντων τῶν γυμναζομένων.

4–12: Antyllus *ap.* Oribasium i. 519 ff.

13

ΙΠΠΟΚΡΑΤΟΥΣ ΟΡΚΟΣ

ὄμνυμι Ἀπόλλωνα ἰατρὸν καὶ Ἀσκληπιόν, καὶ Ὑγίειαν καὶ Πανάκειαν καὶ θεοὺς πάντας καὶ πάσας ἵστορας ποιούμενος, ἐπιτελῆ ποιήσειν κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν ὅρκον τόνδε καὶ συγγραφὴν τήνδε, ἡγήσασθαι μὲν τὸν διδάξαντά με τὴν τέχνην ταύτην ἴσα γενέταις ἐμοῖς, καὶ βίου κοινώσασθαι, καὶ χρεῶν χρῄζοντι μετάδοσιν ποιήσασθαι, καὶ γένος τὸ ἐξ αὐτοῦ ἀδελφοῖς ἴσον ἐπικρίνειν ἄρρεσι, καὶ διδάξειν τὴν τέχνην ταύτην, ἢν χρῄζουσι μανθάνειν, ἄνευ μισθοῦ καὶ ξυγγραφῆς, παραγγελίας τε καὶ ἀκροήσεως καὶ τῆς λοιπῆς ἁπάσης μαθήσεως μετάδοσιν ποιήσασθαι υἱοῖς τε ἐμοῖς καὶ τοῖς τοῦ ἐμὲ διδάξαντος καὶ μαθηταῖς συγγεγραμμένοις τε καὶ ὡρκισμένοις νόμῳ ἰατρικῷ, ἄλλῳ δὲ μηδενί. διαιτήμασί τε χρήσομαι ἐπ' ὠφελείᾳ καμνόντων κατὰ δύναμιν καὶ κρίσιν ἐμήν, ἐπὶ δηλήσει δὲ καὶ ἀδικίᾳ εἴρξειν. οὐ δώσω δὲ οὐδὲ φάρμακον οὐδενὶ αἰτηθεὶς θανάσιμον, οὐδὲ ὑφηγήσομαι συμβουλίαν τοιάνδε· ἁγνῶς δὲ καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμὸν καὶ τέχνην τὴν ἐμήν. εἰς οἰκίας δὲ ὁπόσας ἂν ἐσίω, ἐσελεύσομαι ἐπ' ὠφελείᾳ καμνόντων, ἐκτὸς ὢν πάσης ἀδικίας ἑκουσίας καὶ διαφθορᾶς. ἃ δ' ἂν ἐν θεραπείᾳ ἢ ἴδω ἢ ἀκούσω, ἢ καὶ ἄνευ θεραπείας κατὰ βίον

ἀνθρώπων, ἃ μὴ χρή ποτε ἐκκαλεῖσθαι ἔξω, σιγήσομαι, ἄρρητα ἡγούμενος εἶναι τὰ τοιαῦτα.

ὅρκον μὲν οὖν μοι τόνδε ἐπιτελῆ ποιοῦντι καὶ μὴ ξυγχέοντι εἴη ἐπαύρασθαι καὶ βίου καὶ τέχνης, δοξαζομένῳ παρὰ πᾶσιν ἀνθρώποις εἰς τὸν ἀεὶ χρόνον, παραβαίνοντι δὲ καὶ ἐπιορκοῦντι τἀναντία τούτων.

Hippocrates.

14

ΠΕΡΙ ΑΕΡΩΝ ΥΔΑΤΩΝ ΤΟΠΩΝ

ἰατρικὴν ὅστις βούλεται ὀρθῶς ζητεῖν, τάδε χρὴ ποιεῖν. πρῶτον μὲν ἐνθυμεῖσθαι τὰς ὥρας τοῦ ἔτους ὅ τι δύναται ἀπεργάζεσθαι ἑκαστή. οὐ γὰρ ἐοίκασιν οὐδέν, ἀλλὰ πολὺ διαφέρουσιν αὐταί τε ἑαυτῶν καὶ ἐν ταῖς μεταβολαῖς. ἔπειτα δὲ τὰ πνεύματα τὰ θερμά τε καὶ τὰ ψυχρά, μάλιστα μὲν τὰ κοινὰ πᾶσιν ἀνθρώποις, ἔπειτα δὲ καὶ ἐν ἑκάστῃ χώρᾳ ἐπιχώρια ὄντα. δεῖ δὲ καὶ τῶν ὑδάτων ἐνθυμεῖσθαι τὰς δυνάμεις. ὥσπερ γὰρ ἐν τῷ στόματι διαφέρουσι καὶ ἐν τῷ σταθμῷ, οὕτω καὶ ἡ δύναμις διαφέρει πολὺ ἑκάστου, ὥστε ἐς πόλιν ἐπειδὰν ἀφίκηταί τις ἧς ἄπειρός ἐστι, διαφροντίσαι χρὴ τὴν θέσιν αὐτῆς, ὅπως κεῖται καὶ πρὸς τὰ πνεύματα καὶ πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου. οὐ γὰρ ταὐτὸ δύναται ἥτις προς βορέαν κεῖται καὶ ἥτις πρὸς νότον, οὐδ' ἥτις προς ἥλιον ἀνίσχοντα, οὐδ' ἥτις πρὸς δύνοντα. ταῦτα δὲ ἐνθυμεῖσθαι ὡς κάλλιστα. καὶ τῶν ὑδάτων πέρι ὡς ἔχουσι, καὶ πότερον ἑλώδεσι χρῶνται καὶ μαλακοῖσιν, ἢ σκληροῖσί τε καὶ ἐκ μετεώρων καὶ ἐκ πετρωδῶν, εἴτε ἁλυκοῖσι καὶ ἀτεράμνοισι. καὶ τὴν γῆν πότερον ψιλή τε καὶ ἄνυδρος, ἢ δασεῖα καὶ ἔφυδρος, καὶ εἴτε ἐν κοίλῳ ἐστὶ καὶ πνιγηρά, εἴτε μετέωρος καὶ ψυχρά. καὶ τὴν δίαιταν τῶν ἀνθρώπων,

ὁποίᾳ ἥδονται, πότερον φιλοπόται καὶ ἀρισтηταὶ καὶ ἀταλαίπωροι, ἢ φιλογυμνασταί τε καὶ φιλόπονοι καὶ ἐδωδοὶ καὶ ἄποτοι. καὶ ἀπὸ τούτων χρὴ ἐνθυμεῖσθαι ἕκαστα. εἰ γὰρ ταῦτα εἰδείη τις καλῶς, μάλιστα μὲν πάντα, εἰ δὲ μή, τά γε πλεῖστα, οὐκ ἂν αὐτὸν λανθάνοι ἐς πόλιν ἀφικνούμενον, ἧς ἂν ἄπειρος ᾖ, οὔτε νοσήματα ἐπιχώρια, οὔτε τῶν κοινῶν ἡ φύσις ὁποία τίς ἐστιν, ὥστε μὴ ἀπορεῖσθαι ἐν τῇ θεραπείᾳ τῶν νόσων μηδὲ διαμαρτάνειν. ἃ εἰκός ἐστι γίγνεσθαι, ἢν μή τις ταῦτα πρότερον εἰδὼς πρόφρων τις ᾖ. περὶ ἑκάστου δὲ χρόνου προσιόντος καὶ τοῦ ἐνιαυτοῦ λέγοι ἂν ὁπόσα τε νοσήματα μέλλει πάγκοινα τὴν πόλιν κατασχήσειν ἢ θέρους ἢ χειμῶνος, ὁπόσα τε ἴδια ἑκάστῳ κίνδυνος γίγνεσθαι ἐκ μεταβολῆς τῆς διαίτης. εἰδὼς γὰρ τῶν ὡρῶν τὰς μεταβολὰς καὶ τῶν ἄστρων ἐπιτολάς τε καὶ δύσεις, καθότι ἕκαστον τούτων γίγνεται, προειδείη ἂν τὸ ἔτος ὁποῖόν τι μέλλει γίγνεσθαι· οὕτως ἄν τις ἐρευνώμενος καὶ προγινώσκων τοὺς καιρούς, μάλιστ᾽ ἂν εἰδείη περὶ ἑκάστου καὶ τὰ πλεῖστα τυγχάνοι τῆς ὑγιείας καὶ κατ᾽ ὀρθὸν φέροιτο οὐκ ἐλάχιστα ἐν τῇ τέχνῃ. εἰ δὲ δοκοῖ τις ταῦτα μετεωρόλογα εἶναι, εἰ μετασταίη τῆς γνώμης, μάθοι ἂν ὅτι οὐκ ἐλάχιστον μέρος συμβάλλεται ἀστρονομία ἐς ἰατρικὴν ἀλλὰ πάνυ πλεῖστον. ἅμα γὰρ ταῖς ὥραις καὶ αἱ κοιλίαι μεταβάλλουσι τοῖς ἀνθρώποις. ὅπως δὲ χρὴ ἕκαστα τῶν προειρημένων σκοπεῖν καὶ βασανίζειν, ἐγὼ φράσω σαφῶς· ἥ τις μὲν πόλις πρὸς τὰ πνεύματα κεῖται τὰ θερμά (ταῦτα δ᾽ ἔσται μεταξὺ τῆς τε χειμερινῆς ἀνατολῆς τοῦ ἡλίου καὶ τῶν δυσμῶν τῶν χειμερινῶν, καὶ αὐτῇ ταῦτα τὰ πνεύματά ἐστι ξύννομα, τῶν δὲ ἀπὸ τῶν ἄρκτων πνευμάτων σκέπη) ἐν ταύτῃ τῇ πόλει ἐστὶ τά τε ὕδατα πολλὰ καὶ ὕφαλα καὶ ἀνάγκη εἶναι τοῦ μὲν θέρους θερμά, τοῦ δὲ χειμῶνος ψυχρά. καὶ ὁπόσαι μὲν τῶν πόλεων

κεῖνταί γε καλῶς τοῦ ἡλίου καὶ τῶν πνευμάτων, ὕδασί τε χρῶνται ἀγαθοῖς, αὗται μὲν ἧσσον αἰσθάνονται τῶν τοιούτων μεταβολῶν. ὁπόσαι δὲ ὕδασί τε ἐλείοισι χρῶνται καὶ λιμνώδεσιν, κεῖνταί τε μὴ καλῶς τῶν πνευμάτων καὶ τοῦ ἡλίου, αὗται δὲ μᾶλλον. κἂν μὲν τὸ θέρος αὐχμηρὸν γένηται, θᾶσσον παύονται αἱ νόσοι. ἢν δὲ ἔπομβρον, πολυχρόνιοι γίγνονται. καὶ φαγεδαίνας κοινῶς ἐγγίγνεσθαι ἀπὸ πάσης προφάσεως, ἢν ἕλκος ἐγγένηται. τοῦ δὲ χειμῶνος ψυχροῦ, τούς τε ἀνθρώπους τὰς κεφαλὰς ὑγρὰς ἔχειν καὶ φλεγματώδεις, τάς τε κοιλίας αὐτῶν πυκνὰ ἐκταράττεσθαι ἀπὸ τῆς κεφαλῆς τοῦ φλέγματος ἐπικαταρρέοντος. ἐσθίειν δ' οὐκ ἀγαθοὺς εἶναι οὐδὲ πίνειν. ὅποσοι μὲν γὰρ κεφαλὰς ἀσθενεῖς ἔχουσιν, οὐκ ἂν εἴησαν ἀγαθοὶ πίνειν. ἡ γὰρ κραιπάλη μᾶλλον πιέζει.

Hippocrates.

15

SUPERSTITION CRITICISED

Περὶ μὲν τῆς ἱερᾶς νόσου καλουμένης ὧδ' ἔχει. οὐδέν τί μοι δοκεῖ τῶν ἄλλων θειοτέρα εἶναι νόσων οὐδὲ ἱερωτέρα, ἀλλὰ φύσιν μὲν ἔχει ἣν καὶ τὰ λοιπὰ νοσήματα ὅθεν γίγνεται. φύσιν δὲ αὐτῇ καὶ πρόφασιν οἱ ἄνθρωποι ἐνόμισαν θεῖον εἶναι ὑπὸ ἀπειρίας καὶ θαυμασιότητος, ὅτι οὐδὲν ἔοικεν ἑτέραις νόσοις. καὶ κατὰ μὲν τὴν ἀπορίαν αὐτοῖς τοῦ μὴ γιγνώσκειν, τὸ θεῖον αὐτῇ διασῴζεται, κατὰ δὲ τὴν εὐπορίαν τοῦ τρόπου τῆς ἰάσεως ἰῶνται. ἀπολύονται γὰρ ἢ καθαρμοῖς ἢ ἐπῳδαῖς. εἰ δὲ διὰ τὸ θαυμάσιον θεῖον νομιεῖται, πολλὰ τὰ ἱερὰ νοσήματα ἔσται καὶ οὐχὶ ἕν. ὡς ἐγὼ ἀποδείξω ἕτερα οὐδὲν ἧσσον ὄντα θαυμάσια οὐδὲ τερατώδη ἃ οὐδεὶς νομίζει ἱερὰ εἶναι.

τοῦτο μὲν γὰρ οἱ ἀμφημερινοὶ καὶ οἱ τριταῖοι καὶ οἱ τεταρταῖοι, οὐδὲν ἧσσόν μοι δοκοῦσιν ἱεροὶ εἶναι καὶ ὑπὸ θεοῦ γίγνεσθαι ταύτης τῆς νόσου, κἂν μὴ θαυμασίως ἔχωσι· τοῦτο δὲ ὁρῶ μαινομένους ἀνθρώπους καὶ παραφρονοῦντας μέχρις ἂν ἐξεγείρωνται, ἔπειτα δὲ καὶ ὑγιεῖς ὄντας καὶ φρονοῦντας ὥσπερ τὸ πρότερον, ὄντας τε αὐτοὺς ὠχρούς τε καὶ ἀσθενεῖς, καὶ ταῦτα οὐχ ἅπαξ, ἀλλὰ πολλάκις· ἄλλα τε πολλά ἐστι καὶ παντοδαπὰ ὧν ἕκαστον λέγειν πολὺς ἂν εἴη λόγος. ἐμοὶ δὲ δοκοῦσιν οἱ πρῶτοι τοῦτο τὸ νόσημα ἀφιερώσαντες τοιοῦτοι εἶναι ἄνθρωποι οἷοι καὶ νῦν εἰσι μάγοι τε καὶ καθάρται καὶ ἀγύρται καὶ ἀλαζόνες, ὁπόσοι δὴ προσποιοῦνται σφόδρα θεοσεβεῖς εἶναι καὶ πλέον τι εἰδέναι. οὗτοι τοίνυν παραμπεχόμενοι καὶ προβαλλόμενοι τὸ θεῖον τῆς ἀμηχανίας, τὸ μὴ ἴσχειν ὅ τι προσενέγκαντες ὠφελήσουσι, ὡς μὴ κατάδηλοι ὦσιν οὐδὲν ἐπιστάμενοι, ἱερὸν ἐνόμισαν τοῦτο τὸ πάθος εἶναι, καὶ λόγους ἐπιλέξαντες ἐπιτηδείους, τὴν ἴασιν κατεστήσαντο ἐς τὸ ἀσφαλὲς σφίσιν ἑαυτοῖς, καθαρμοὺς προσφέροντες καὶ ἐπῳδάς, λουτρῶν τε ἀπέχεσθαι κελεύοντες καὶ ἐδεσμάτων πολλῶν καὶ ἀνεπιτηδείων ἀνθρώποις νοσοῦσιν ἐσθίειν, θαλασσίων μὲν τρίγλης καὶ μελανούρου, κεστρέως, ἐγχέλυος· οὗτοι γὰρ οἱ ἰχθύες εἰσὶν ἐπικαιρότατοι. κρεῶν δὲ αἰγείου καὶ ἐλαφείου καὶ χοιρείων καὶ κυνός· ταῦτα γὰρ κρεῶν ταρακτικώτατά ἐστι τῆς κοιλίας. ὀρνίθων δὲ ἀλεκτρύονος καὶ τρυγόνος, ὠτίδος, ἔτι δὲ ὅσα νομίζεται ἰσχυρότατα εἶναι. λαχάνων δὲ μίνθης, σκορόδου καὶ κρομμύου· δριμὺ γὰρ ἀσθενοῦντι οὐδὲν ξυμφέρει. ἱμάτιον δὲ μέλαν μὴ ἔχειν, θανατῶδες γὰρ τὸ μέλαν. μηδὲ ἐν αἰγείῳ κατακεῖσθαι δέρματι μηδὲ φορεῖν μηδὲ πόδα ἐπὶ ποδὶ ἔχειν, μηδὲ χεῖρα ἐπὶ χειρί· ταῦτα γὰρ πάντα κωλύματα εἶναι. ταῦτα δὲ πάντα τοῦ θείου ἕνεκα προστιθέασιν, ὡς πλέον τι εἰδότες καὶ

ἄλλας προφάσεις προλέγοντες, ὅπως εἰ μὲν ὑγιὴς γένοιτο, αὐτῶν ἡ δόξα εἴη καὶ ἡ δεξιότης, εἰ δὲ ἀποθάνοι, ἐν ἀσφαλεῖ καθισταῖντο αὐτῶν αἱ ἀπολογίαι καὶ ἔχοιεν πρόφασιν ὡς οὐκ αἴτιοί εἰσιν αὐτοί, ἀλλ' οἱ θεοί. οὔτε γὰρ φαγεῖν οὔτε πιεῖν ἔδοσαν φάρμακον οὐδέν, οὔτε λουτροῖς καθήψησαν, ὥστε δοκεῖν αἴτιον εἶναι. ἐγὼ δὲ δοκῶ Λιβύων τῶν τὴν μεσόγειον οἰκούντων οὐδένα ὑγιαίνειν, ὅτι ἐν αἰγείοισι δέρμασι κατακεῖνται καὶ κρέασιν αἰγείοις χρῶνται, ἐπεὶ οὐκ ἔχουσιν οὔτε στρῶμα οὔτε ἱμάτιον οὔτε ὑπόδημα ὅ τι μὴ αἴγειόν ἐστιν. οὐ γάρ ἐστιν αὐτοῖς ἄλλο προβάτιον οὐδὲν ἢ αἶγες καὶ βόες. εἰ δὲ ταῦτα προσφερόμενα καὶ ἐσθιόμενα τὴν νόσον αὔξει καὶ μὴ ἐσθιόμενα ἰᾶται, οὐκ ἔστιν ἄρα ὁ θεὸς αἴτιος οὐδενός, οὐδὲ οἱ καθαρμοὶ ὠφελοῦσιν, ἀλλὰ τὰ ἐδέσματα τὰ ἰώμενά τε καὶ βλάπτοντα, τοῦ δὲ θείου ἀφανίζεται ἡ δύναμις.

οὕτω οὖν ἔμοι γε δοκοῦσιν οἵτινες τούτῳ τῷ τρόπῳ ἐγχειροῦσιν ἰᾶσθαι ταῦτα τὰ νοσήματα, οὔτε ἱερὰ νομίζειν εἶναι οὔτε θεῖα. ὅπου γὰρ ὑπὸ καθαρμῶν τοιούτων μετάστατα γίγνεται καὶ ὑπὸ θεραπείας τοιᾶσδε, τί κωλύει. καὶ ὑφ' ἑτέρων τεχνημάτων ὁμοίων τούτοις ἀπογίγνεσθαι τοῖς ἀνθρώποις καὶ προσπίπτειν; ὥστε μηκέτι τὸ θεῖον αἴτιον εἶναι, ἀλλά τι ἀνθρώπινον. ὅστις γὰρ οἷός τε περικαθαίρων καὶ μαγεύων ἀπάγειν τοιοῦτον πάθος, οὗτος κἂν ἐπάγῃ ἕτερα τεχνησάμενος πάντως· κἂν τούτῳ τῷ λόγῳ τὸ θείον ἀπόλλυται. τοιαῦτα λέγοντες καὶ μεμηχανημένοι προσποιοῦνται πλέον τι εἰδέναι καὶ ἀνθρώπους ἐξαπατοῦσι προστιθέμενοι τούτοις ἁγνείας τε καὶ καθαρότητας, ὅτε πολὺ αὐτοῖς τοῦ λόγου ἐς τὸ θεῖον ἀφήκει καὶ τὸ δαιμόνιον· καίτοι ἔμοιγε οὐ περὶ εὐσεβείας δοκοῦσι τοὺς λόγους ποιεῖσθαι, ὡς οἴονται, ἀλλὰ περὶ δυσσεβείας μᾶλλον, καὶ ὡς οἱ θεοὶ οὐκ εἰσί, τό τε εὐσεβὲς καὶ θεῖον

αὐτῶν ἀσεβὲς καὶ ἀνόσιόν ἐστιν, ὡς ἐγὼ δίδαξω. εἰ γὰρ σελήνην τε καθαιρεῖν καὶ ἥλιον ἀφανίζειν χειμῶνά τε καὶ εὐδίαν ποιεῖν καὶ ὄμβρους καὶ αὐχμοὺς καὶ θάλασσαν ἄφορον καὶ γῆν καὶ τἄλλα τὰ τοιουτότροπα πάντα ἐπιδέχονται ἐπίστασθαι, εἴτε καὶ ἐκ τελετῶν εἴτε καὶ ἐξ ἄλλης τινὸς γνώμης ἢ μελέτης φασὶν οἷοί τε εἶναι οἱ ταῦτα ἐπιτηδεύοντες, δυσσεβεῖν ἔμοιγε δοκοῦσι καὶ θεοὺς οὔτε εἶναι νομίζειν οὔτε ὄντας ἰσχύειν οὐδέν, οὔτε εἴργεσθαι ἂν οὐδενὸς τῶν ἐσχάτων. εἰ γὰρ ἄνθρωπος μαγεύων τε καὶ θύων σελήνην τε καθαιρήσει καὶ ἥλιον ἀφανιεῖ καὶ χειμῶνα καὶ εὐδίαν ποιήσει, οὐκ ἂν ἔγωγέ τι θεῖον νομίσαιμι τούτων εἶναι, ἀλλ' ἀνθρώπινον, εἰ δὴ τοῦ θείου ἡ δύναμις ὑπὸ ἀνθρώπου γνώμης κρατεῖται καὶ δεδούλωται. ἴσως δὲ οὐχ οὕτως ἔχει ταῦτα, ἀλλ' ἄνθρωποι βίου δεόμενοι πολλὰ καὶ παντοῖα τεχνοῦνται καὶ ποικίλλουσιν ἔς τε τἄλλα πάντα καὶ ἐς τὴν νόσον ταύτην, ἑκάστῳ εἴδει τοῦ πάθους θεῷ τὴν αἰτίαν προστιθέντες. οὐ γὰρ ἅπαξ, ἀλλὰ πλεονάκις ταὐτὰ μέμνηνται. κἂν μὲν γὰρ αἶγα μιμῶνται, κἂν βρύχωνται, κἂν τὰ δεξιὰ σπῶνται, μητέρα θεῶν φασὶ αἰτίαν εἶναι. ἂν δὲ ὀξύτερον καὶ εὐτονώτερον φθέγγηται, ἵππῳ εἰκάζουσι, καὶ φασὶ Ποσειδῶνα αἴτιον εἶναι. ἂν δὲ ἀφρὸν ἐκ τοῦ στόματος ἀφίῃ καὶ τοῖσι ποσὶ λακτίζῃ, Ἄρης τὴν αἰτίαν ἔχει. ὁπόσα δὲ δείματα νυκτὸς παρίσταται καὶ φόβοι καὶ παράνοιαι καὶ ἀναπηδήσεις ἐκ τῆς κλίνης καὶ φόβητρα καὶ φεύξεις ἔξω, Ἑκάτης φασὶν εἶναι ἐπιβουλὰς καὶ ἡρώων ἐφόδους, καθαρμοῖς τε χρῶνται καὶ ἐπῳδαῖς καὶ ἀνοσιώτατόν γε καὶ ἀθεώτατον ποιοῦσιν, ὡς ἔμοιγε δοκεῖ, τὸ θεῖον. καθαίρουσι γὰρ τοὺς ἐχομένους τῇ νόσῳ ὥσπερ καὶ τοὺς αἵμασι καὶ τοῖς ἄλλοις μιάσμασιν ἐχομένους ἢ ἀλάστορας ἢ πεφαρμαγμένους ὑπὸ ἀνθρώπων, ἤ τι ἔργον ἀνόσιον ἐργασμένους, οὓς ἐχρῆν τἀναντία τούτοισι ποιεῖν, θύειν τε καὶ εὔχεσθαι καὶ

εἰς τὰ ἱερὰ φέροντας ἱκετεύειν τοὺς θεούς. νῦν δὲ τούτων μὲν ποιοῦσιν οὐδέν, καθαίρουσι δέ· καὶ τὰ μὲν τῶν καθαρμῶν γῇ κρύπτουσι, τὰ δὲ ἐς θάλατταν ἐμβάλλουσι, τὰ δὲ ἐς τὰ ὄρη ἀποφέρουσιν ὅπῃ μηδεὶς ἅψεται μηδὲ ἐπιβήσεται. τὰ δ' ἐχρῆν ἐς τὰ ἱερὰ φέροντας τῷ θεῷ ἀποδοῦναι, εἰ δὴ θεός γέ ἐστιν αἴτιος. οὐ μέντοι ἔγωγε ἀξιῶ ὑπὸ θεοῦ ἀνθρώπου σῶμα μιαίνεσθαι, τὸ ὑποκηρότατον ὑπὸ τοῦ ἁγνοτάτου, ἀλλὰ κἂν τυγχάνῃ ὑπὸ ἑτέρου μεμιασμένον ἤ τι πεπονθός, ἐθέλοι ἂν ὑπὸ τοῦ θεοῦ καθαίρεσθαι καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μιαίνεσθαι. τὰ γοῦν μέγιστα τῶν ἁμαρτημάτων καὶ ἀνοσιώτατα τὸ θεῖόν ἐστι τὸ καθαῖρον καὶ ἁγνίζον καὶ ἔρυμα γενόμενον ἡμῖν, αὐτοί τε ὅρους τοῖς θεοῖς τῶν ἱερῶν καὶ τῶν τεμενῶν ἀποδεικνύμενοι, ἵνα μηδεὶς ὑπερβαίνοι ἢ μὴ ἁγνεύοι· εἰσιόντες τε περιρραινόμεθα οὐχ ὡς μιαινόμενοι, ἀλλ' εἴ τι καὶ πρότερον ἔχομεν μύσος, τοῦτο ἀφαγνιούμενοι. καὶ περὶ μὲν τῶν καθαρμῶν οὕτω μοι δοκεῖ ἔχειν. τὸ δὲ νόσημα τοῦτο οὐδέν τί μοι δοκεῖ θειότερον εἶναι τῶν λοιπῶν, ἀλλὰ φύσιν μὲν ἔχει ἣν καὶ τὰ ἄλλα νοσήματα, καὶ πρόφασιν ὅθεν ἕκαστα γίγνεται.

Hippocrates, Περὶ ἱερῆς νόσου.

PART IV

PROVERBS

1. ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί.

2. φαγέτω με λεὼν καὶ μὴ ἀλώπηξ.

3. ἥν τις ἔμαξε μᾶζαν ταύτην καὶ ἐσθιέτω.

4. ἔμπροσθεν κρημνός, ὄπισθεν λύκοι.

5. ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ἐς τὸν ὅμοιον.

6. παθήματα μαθήματα.

7. τὰ σῦκα σῦκα λέγειν.

8. ἅμαξα τὸν βοῦν ἕλκει.

9. κορώνη τὸν σκορπίον [ἥρπασεν].

10. γόνυ κνήμης ἔγγιον.

11. γλαῦκ᾽ Ἀθήναζε [ἄγειν].

12. κοινὰ τὰ τῶν φίλων.

13. ξυρεῖ ἐν χρῷ.

14. πρὸς Κρῆτα κρητίζειν.

15. κἂν μύρμηκι χολή.

16. ἐν καρὶ τὸν κίνδυνον [ἀναρρίπτειν].

17. κακοῦ κόρακος κακὸν ᾠόν.

18. ἀγαθὴ καὶ μᾶζα μετ᾽ ἄρτον.

19. ἐν τοῖς ἑαυτοῦ δικτύοις ἁλῶναι.

20. μὴ κίνει Καμάριναν.

21. ἢ τρὶς ἓξ ἢ τρεῖς κύβοι.

22. μία χελιδὼν ἔαρ οὐ ποιεῖ.

23. τὸν καπνὸν φεύγων εἰς τὸ πῦρ ἐμπεσεῖν.

24. δὶς παῖδες οἱ γέροντες.

25. κακὰ μὲν θρῖπες, κακὰ δ᾽ ἶπες.

26. ἅμ᾽ ἔπος, ἅμ᾽ ἔργον.

27. δελφῖνα νήχεσθαι διδάσκειν.

28. πολλοὶ στατηγοὶ Καρίαν ἀπώλεσαν.

29. ἀρχὴ ἥμισυ παντός.

30. παρὼν ἀποδημεῖς.

Riddles

1. νῆσος ὅλη, μύκημα βοός, φωνή τε δανειστοῦ.

(Ῥόδος.)

2. ἀνθρώπου μέλος εἰμ᾽· αἰεὶ τέμνει με σίδηρος.
γράμματος αἰρομένου δύεται ἠέλιος.

(ὄνυξ.)

3. εἰμὶ χαμαίζηλον ζῴων μέλος· ἢν δ᾽ ἀφέλῃς μου
γράμμα μόνον, κεφαλῆς γίγνομαι ἄλλο μέλος·
ἢν δ᾽ ἕτερον, ζῷον πάλιν ἔσσομαι· ἢν δὲ καὶ ἄλλο,
οὐχ ἕν μ᾽ εὑρήσεις ἀλλὰ διηκόσια.

(πούς.)

4. δός μοι δύο μνᾶς, καὶ διπλοῦς σοι γίγνομαι·
κἀγὼ λαβὼν σοῦ τὰς ἴσας, σοῦ τετραπλοῦς.

($3\frac{5}{7}$: $4\frac{6}{7}$.)

Blackie's Latin Texts

EDITED BY W. H. D. ROUSE, LITT.D.

Head-Master of the Perse School, Cambridge.

THIS new series has been designed especially for schools. The texts are intended for use in the first two or three years of the study of Latin. In order to save time and inculcate good habits, *all vowels long by nature are marked;* thus the pupil, learning the quantity as an essential part of the word and pronouncing aright from the first, will not make mistakes when later he comes to use an unmarked text. Each volume has *a short introduction* dealing with the author's life and works, his style, and the subject of the book. A new and important feature in the introduction is a brief note on the MSS. and the principles of textual criticism, which are illustrated by a few selected critical notes at the foot of the text. *No other notes are given.*

Eutropius.
Edited by W. H. S. JONES, M.A. 8d. net.

Horace—Odes. BOOKS I., II., III., and IV., separately.
Edited by W. H. D. ROUSE, Litt.D. 6d. each net.

Cicero—De Amicitia.
Edited by Professor J. S. REID, Litt.D. 6d. net.

Cicero—De Senectute.
Edited by Professor J. S. REID, Litt.D. 6d. net.

Selections from Tibullus and Others.
Edited by Professor J. P. POSTGATE, Litt.D. 6d. net.

Virgil—Eclogues.
Edited by S. E. WINBOLT, M.A. 6d. net.

Virgil—Aeneid. BOOKS I. to XII. separately.
Edited by S. E. WINBOLT, M.A. 6d. each net.

Virgil—Georgics. BOOKS I. to IV. separately.
Edited by S. E. WINBOLT. 6d. each net.

Caesar—Gallic War. BOOKS I. to VIII. separately.
Edited by W. H. D. ROUSE, Litt.D. 6d. each net.

Livy. BOOKS V., VI., separately.
Edited by E. SEYMER THOMPSON, M.A. 8d. each net.

Ilias Latina. Edited by W. H. S. JONES, M.A. 6d. net.

Nepos—Vitae. Edited by W. H. S. JONES, M.A. 8d. net. (*Shortly.*)

Vocabularies.

A General Vocabulary to Caesar. *In the Press.*

A General Vocabulary to Virgil. *In the Press.*
These volumes, to be issued shortly at a low price, have been specially prepared in response to the requests of teachers, for use along with Blackie's Latin Texts.